1876 **Κωνσταντῖνος** Ὁ Βαλιάδης ὁ νῦν εὐκλεῶς πατριαρχεύων. Ἐκ τοῦ χωρίου Βέσσα τῆς εὐάνδρου Χίου, ἀπὸ ἀρχιγραμματέως τῆς ἱερᾶς συνόδου ἐξελέγη τὴν 30 Ἰανουαρίου 1876 ποιμενάρχης Μυτιλήνης· ποιμάνας δὲ ἐπὶ δεκαοκταετίαν αὐτήν, προεβιβάσθη τὴν 30 Ἀπριλίου 1893 εἰς τὸν μητροπολιτικὸν θρόνον Ἐφέσου, τὴν δὲ 2 Ἀπριλίου 1897 συνοδικὸς διατελῶν ἐν Κωνσταντινουπόλει ψηφίζεται οἰκουμενικὸς πατριάρχης αὐτὸς Ε΄. τὴν σειρὰν τῶν Κωνσταντίνων πατριαρχῶν Κωνσταντινουπόλεως.

1893 **Μεθόδιος** Ὁ Ἀρώνης τὸ δεύτερον, ἀπὸ τῆς μητροπόλεως Διδυμοτείχου μετατεθεὶς τὴν 6 Ἰουνίου 1893, ἀπεβίωσε μητροπολίτης Μυτιλήνης τῇ 18 Φεβρουαρίου 1897.

1893 **Κύριλλος** Ὁ τοὐπίκλην Μουμτζῆς. Συνωπεὺς τὴν πατρίδα. Ἀπὸ ἀρχιγραμματέως τῆς συνόδου ἐχειροτονήθη μητροπολίτης Μυτιλήνης τῇ 13 Μαΐου 1897 ὁ νῦν τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν.

ΚΑΤΑΛΟΓΟΣ
ΜΗΤΡΟΠΟΛΙΤΩΝ ΜΗΘΥΜΝΗΣ

ἔτη μ.Χ.	ὄνομα	
300	**Ἀλέξανδρος**	Ὁ ἅγιος (ἴδε Λεσβ. Ε. Δρακ.) Ὁ ἱερὸς οὗτος ἀνήρ, ὡς καὶ ἀλλαχοῦ ἐρρήθη, εἶνε ἀβέβαιον ἂν παρευρέθη εἰς τὴν Α΄. Οἰκουμενικὴν Σύνοδον, ἢ ἄλλος τίς ἐστιν ἐκεῖνος, καὶ ἂν Μηθύμνης ἢ Μυτιλήνης ὑπῆρξεν ἐπίσκοπος.
	Διονύσιος	
520	**Χριστόδωρος**	Ἤκμασεν ἐπὶ πατριάρχου Κωνσταντινουπόλεως Ἐπιφανίου (520—535).— Εἷς τι γράμμα τῆς ἐν Κωνσταντινουπόλει Ε΄. Συνόδου ὑπογράφει «καὶ ὁ Χριστόδωρος ἐλέῳ Θεοῦ ἐπίσκοπος Μεθύμνης τῆς νήσου Λέσβου». (Ε. Δρακ.)
681	**Ἀνδρέας**	Ἔλαβε μέρος ἐν τῇ ΣΤ΄. ἐν Κωνσταντινουπόλει Οἰκουμ. Συνόδῳ ὑποφαινόμενος ἐν τοῖς Πρακτικοῖς «Ἀνδρέας ἐλέῳ Θεοῦ ἐπίσκοπος τῆς Μηθυμναίων πόλεως Λέσβου» καὶ ἐναὐτῇ «Ἀνδρέας ἐπίσκοπος Μεθύμνης εἶπεν· ἕπομαι ταῖς ἀναφοραῖς τοῦ ἁγιωτάτου πάπα Ρώμης Ἀγάθωνος καὶ ταῖς χρήσεσι ταῖς ἐν αὐταῖς ἐγκειμέναις τῶν ἁγίων πατέρων· καὶ οὕτω πιστεύω, καὶ οὕτως ὁμολογῶ δύο φύσεις, δύο θελήματα καὶ δύο ἐνεργείας ἐπὶ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν». (Λεσβ. Ε. Δρακ. ἐκδοθ. 1899. ἴδε πατριαρχικὰ Πρακτικά).

692 **Θεοφύλακτος** Λαβὼν μέρος εἰς τὴν ἐν Τρούλλῳ σύνοδον. Ἀναφέρεται ἐν τῇ ἐν Κωνσταντινουπόλει πενθέκτῃ συνόδῳ (692) ὡς παρὼν ὁ «Θεοφύλακτος ἐλάχιστος ἐπίσκοπος τῆς Μηθυμναίων».

787 **Εὐστράτιος** Παρῆν ἐν τῇ Ζ'. οἰκ. συνόδῳ 787. (ἢ 783;) «Εὐστράτιος ἐπίσκοπος Μεθύμνης». (ἴδε πατριαρχικὰ πρακτικὰ τομ. Δ'. σελ. 112. 272). Καὶ Ταρασίου πατριαρχεύοντος «Εὐστράτιος ἀνάξιος ἐπίσκοπος Μεθύμνης. Ἔτος 783».

Ἰάκωβος Παρῆν ἐν τῇ ὑπὲρ Ἰγνατίου τοῦ πατριάρχου Κωνσταντινουπόλεως συνόδῳ, τῇ Η'. κατὰ Λατίνους οἰκουμενικῇ «Ἰάκωβος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Μεθύμνης».

1070 **Νικόλαος** Περὶ τὰ 1070-1100. (ἴδε Λεσβ. Ε. Δράκ.).

1147 **Γεώργιος** Ἤκμασεν ἐπὶ πατριάρχου Κωνσταντινουπόλεως Κοσμᾶ τοῦ Ἀττικοῦ, καὶ ἰδίᾳ τῷ 1081 ὅτε τὸν ἐπὶ δυσσεβείᾳ κατηγορηθέντα Κοσμᾶν ὠρθοτόμησε καὶ ὁ «εὐτελὴς μητροπολίτης Μεθύμνης Γεώργιος».

1155 **Μιχαὴλ** Ἐπὶ πατριάρχου Λουκᾶ Χρυσοβέργη παρῆν ἐν τῇ κατὰ Σωτηρίχου τοῦ Παντευμένου τοπικῇ συνόδῳ τῷ 1155.

1166 **Νικόλαος** Διάδοχος τοῦ Μιχαὴλ κατὰ πᾶσαν πιθανότητα.

1169 **Θεόδωρος** Ἀρχιερατεύει περὶ τὰ 1169-1177· τῷ δὲ 1171 ἦν μέλος τῆς ἐν Κωνσταντινουπόλει συνόδου.

Μηθύμνης τις ἦν ἐπίσης ἐν Κωνσταντινουπόλει μέλος τῆς Συνόδου ἐπὶ τοῦ αὐτοκράτορος Ἰσαακίου Ἀγγέλου τοῦ Κομνηνοῦ.

1220 **Μιχαὴλ** Μέλος τῆς αὐτῆς Συνόδου, ἐν Νικαίᾳ λειτουργούσης τῷ 1220 ἐπὶ Μανουὴλ Χαριτοπούλου.

1225 **Νικηφόρος** Ἴσως τῷ 1225· διότι κατὰ τὸ ἔτος τοῦτο φαίνεται συνεπικυρῶν τὸ γράμμα τῆς εἰς τὸν Μανουὴλ Ξηρὸν ὑπὸ τοῦ μητροπολίτου Μυτιλήνης Πόθου τοῦ Ἀπλησφάρη παραχωρήσεως τῆς μονῆς «Κάτω Πτωμαίων», περὶ ἧς ἴδε ἐν τοῖς προλεγομένοις.

1250 **Μιχαὴλ** Μέλος τῆς Συνόδου τοῦ πατριάρχου Μανουὴλ Β', συνυπογράφων κανονικάς τινας ἀποκρίσεις.

1315 **Μαλαχίας** Ὃς καὶ συνυπογράφεται ὡς συνοδικὸν μέλος ἐν ἀποφάσεσι συνοδικαῖς ἐπὶ τῶν πατριαρχῶν Ἰωάννου Γλυκέως καὶ Ἡσαΐου τοῦ Ἁγιορείτου.

1370 **Χαρίτων** Ἐπὶ τούτου ἐγένετο νέα αὐστηρὰ συνοδικὴ ἀπόφασις τῇ 31 Μαΐου 1371, μετὰ τὴν τῇ 19 Ἰουνίου 1370, κατὰ τῶν κατεχόντων ἁρπακτικῶς, οἷον εἰπεῖν, κτήματα τῆς μητροπόλεως Μεθύμνης.

1484 **Ματθαῖος** Μετὰ παρέλευσιν αἰῶνος παρουσιάζεται ὁ Ματθαῖος καθήμενος ἐπὶ τοῦ θρόνου τῆς Μεθύμνης κατὰ τὸ 1484.

1527 **Μακάριος** Ἄρχει τῆς Ἐκκλησίας Μηθύμνης, ὅτε ἱδρύετο ὑπὸ τοῦ διαδόχου τοῦ ἁγίου Ἰγνατίου ἡ μονὴ Μυρσινιωτίσσης καὶ Λειμῶνος. Τῷ 1527 ἐπικυροῖ τὴν διαθήκην τοῦ ἱδρυτοῦ αὐτῶν μετὰ τοῦ πρώην Ηισηδίας Μακαρίου ἐπίσης. Ἐγένετο εἶτα μητροπολίτης Θεσσαλονίκης τῷ 1531, καὶ μεγαλόσχημος ἐν τῇ μονῇ Λειμῶνος ὅπου καὶ ἀπέθανε τῇ 12 Ἀπριλίου 1546.

1531 **Ἰγνάτιος** Ἀγαλλιανός. Ὁ ἐν ἁγίοις κτίτωρ τῶν ἱερῶν μονῶν Μυρσινιωτίσσης καὶ Λειμῶνος, περὶ οὗ λόγος πολλαχοῦ γίνεται τοῦ παρόντος συγγράμματος.

1560 **Μιχαὴλ** Δεσπόζει πνευματικῶς ἐπὶ τῶν Μηθυμναίων τῷ 1560 ὁ Μιχαὴλ (Ε. Δρακ.) διαδεξάμενος τὸν ἕνεκα γήρους ἀποσυρθέντα εἰς τὰς μονάς του ἅγιον Ἰγνάτιον.

1570 **Ἱππόλυτος** Ὁ ἐκ Κηθύρων· διετέλεσε ποιμὴν Μηθύμνης περὶ τὰ 1570 καὶ ἐπὶ ἐξαετίαν περίπου φαίνεται, διότι κατόπιν διωρίσθη μητροπολίτης Χίου, ἔνθα καὶ καθηρέθη ὑπὸ τοῦ πατριάρχου Κωνσταντινουπόλεως Μητροφάνους τοῦ Γ'.

1576 **Νεόφυτος** Γέγραπται οὗτος ἐπὶ σιγιλλίου τοῦ Λειμῶνος τῷ 1576.

1590 **Μακάριος** Ὑπογράφων κατὰ Μάϊον ἐν τῇ κυρώσει τοῦ προβιβασμοῦ τοῦ Μόσχας Ἰὼβ ὡς πατριάρχου Ρωσσίας.

1596 **Ραφαὴλ** Ὡς ἐν μηνὶ Μαΐῳ συνοδικὸς ὤν, συνυπέγραψε κατ' Ἀπρίλιον γράμμα συνοδικὸν τοῦ πατριάρχου Γαβριὴλ περί τινος κτήματος τῆς μονῆς τοῦ Λειμῶνος, ἤτοι τοῦ ἐν Παρασιγίῳ μονυδρίου τοῦ ἁγίου Γεωργίου, τῷ δὲ 1603 ἀπὸ Μεθύμνης ἐξελέγη οἰκουμενικὸς πατριάρχης διαμείνας ἐπὶ τοῦ θρόνου μέχρι τοῦ τέλους τοῦ 1607.

1608 **Γρηγόριος** Ὡς πρὸ τοῦ ἔτους τούτου ἐδωρήσατο τῇ μονῇ Λειμῶνος ἄμφια καὶ σκεύη ἱερά· τὴν δὲ 22 Αὐγούστου 1610 συνυπογράφει συνοδικὴν πρᾶξιν περὶ τοῦ θανόντος μητροπολίτου Μυτιλήνης Παϊσίου.

1608 **Κωνστάντιος** Μετὰ τοῦ Μυτιλήνης Σωφρονίου καὶ ἑτέρων, ὡς καὶ ὁ Μεθύμνης Κωνστάντιος, συνεπιβεβαιοῖ σιγίλλιον περὶ τῶν παρὰ τὴν Καλλονὴν δύο σταυροπηγιακῶν μονῶν κατὰ τὰ 1608.

1616 **Γαβριὴλ** Μέλος τῆς Συνόδου τοῦ Πατριάρχου Τιμοθέου· συνυπογράφει συνοδικὴν πρᾶξιν περὶ

τοῦ θανόντος Γρηγορίου Μηθύμνης κατὰ τὸ 1616. Φαίνεται δὲ καθήμενος καὶ μετὰ διετίαν ἐπὶ τοῦ θρόνου τῆς Μηθύμνης (1618).

1643 **Κορνήλιος** Ἀρχιερατεύσας μέχρι Φεβρουαρίου τοῦ 1652.

1652 **Ἄνθιμος** Ὃς δείκνυται καὶ ἐπὶ σιγιλλίου τοῦ Λειμῶνος· ἐκλεγεὶς τῇ 6 Φεβρουαρίου κατὰ τὴν τοῦ Δοσιθέου «Νομικὴν Συναγωγὴν» ἐν τούτῳ τῇ 5 Φεβρουαρίου τοῦ ἔτους τούτου 1652, μένων ἐν Κωνσταντινουπόλει συνυπογράφει συνοδικὴν πρᾶξιν τοῦ πατριάρχου Ἰωαννικίου Β΄. Παρητήσατο δὲ τὸν θρόνον τῇ 2 Αὐγούστου 1656 εἰς τὸν πρώην Ναυπλίου Μακάριον, ἀναλαβόντα χορηγεῖν αὐτῷ τὰ πρὸς ζωάρκειαν.

1656 **Μακάριος** Παρὼν εἰς τὴν ἐκλογὴν τοῦ Πατριάρχου Κωνσταντινουπόλεως Διονυσίου Γ΄. τῷ 1662, καὶ συνοδικὸν μέλος τῷ 1671 ὤν, συνυπογράφει συνοδικὴν ἐπιστολὴν πρὸς τὸν ἐν Βενετίᾳ μητροπολίτην Φιλαδελφείας Μελέτιον Χορτάκην, καὶ πάλιν τῷ 1680 συνυπογράφει τὴν πρᾶξιν τῆς ἐκλογῆς τοῦ Φιλαδελφείας Γερασίμου Βλάχου. Ἀρχιερατεύει 32 ἔτη τῶν Μηθυμναίων, τῆς δὲ κοινωφελείας τοῦ ἀνδρὸς ἔργα σώζονται ἔτι ἡ ἐπὶ τοῦ χειμάρρου Ἀχερώνης γέφυρα (ζροδ΄ =1676) καὶ ἡ παρ' αὐτὴν κρήνη (1688) δι' ἐξόδων κτισθεῖσαι αὐτοῦ. Δείκνυται δὲ πέραν τῷ 1693.

1697 **Καλλίνικος** Ἐπὶ πατριαρχικοῦ ἐπιτιμίου ἐν τοῖς ἀρχείοις τοῦ Μανδαμάδου συνυπογράφει καὶ ὁ Καλλίνικος κατὰ τὸ 1697.

1699 **Ἄνθιμος** Ὃς ἐπικυροῖ λογαριασμοὺς τῶν ἐκκλησιῶν Μολύβου (1699).

1714 **Μελέτιος** Συνοδικὸς ὢν ἐπὶ πατριάρχου Κοσμᾶ Γ΄.

κατὰ Μάϊον τοῦ 1714 συνυπέγραψεν ἐπιστολὴν περὶ κληρονομικῆς τινος ὑποθέσεως (Ἴδε πατριαρχικὰ γράμματα ἀποτεινόμενα τοῖς κατοίκοις Κεραμίου καὶ Μανδαμάδου (1714) καὶ τοῖς ἐν Μολύβῳ (1716), ἃ συνυπογράφει οὗτος).

1731 **Ἄνθιμος** Ἐκ Τελωνίων τῆς Λέσβου, παρῆν ἐν συνόδῳ τινὶ τῷ 1721, ἐν δὲ τῷ κώδικι τῆς κοινότητος Μολύβου σημειοῖ ὅτι κατὰ τὴν 25 Σεπτεμβρίου 1733 διῆλθε τῆς πόλεως ἐκείνης ὁ ἐκλαμπρότατος αὐθέντης Ἰωάννης Μιχαὴλ Ραωβίτσας βοεβόδας, ὅστις ἔμεινε 14 μῆνας εἰς τὴν πόλιν Μυτιλήνην ἐξόριστος.

1738 **Ἀρσένιος** Ἐκ τῆς νήσου Σκύρου. Ἀπὸ τοῦ 1737-1748 φαινόμενος. Τὸ ὄνομα αὐτοῦ φέρεται ἐπὶ Κρήνης (1748).

1749 **Διονύσιος** Ἀρχιερατεύει ἀπὸ τοῦ 1749-1751 ἀποθανὼν κατὰ Φεβρουάριον τοῦ 1774.

1751 **Ἀρσένιος** Ὁ ἐκ Σκύρου τὸ δεύτερον. Δεσπόζει τῆς Μηθύμνης ἀπὸ τοῦ ἔτους τούτου μέχρι τοῦ 1774. Ἐν ἔτει δὲ 1760 ἀνῳκοδόμησε μεθ' ἑτέρων τὸν ἐν Ἀχερώνῃ ναόν, ὡς ἡ ἐπὶ τῆς θύρας τῆς αὐλῆς αὐτοῦ μαρμαρίνη πλὰξ ἀναγράφει.

1774 **Διονύσιος** Ὁ Καραμήτσας ἐκ Μολύβου τῆς Λέσβου. Πρωτοσύγκελλος καὶ διάδοχος τοῦ Ἀρσενίου, προσενεγκὼν τῇ μεγάλῃ Ἐκκλησίᾳ ὡς δῶρον 90 πουγγεῖα κατὰ τὸν Ὑψηλάντην. (Ε. Δρ.). Εἶχε παρ' αὐτῷ γραμματέα Ἀθανάσιον τὸν Ραιδεστινόν, περὶ οὗ λόγος γίνεται ἀλλαχοῦ τοῦ παρόντος, βοηθὸν δὲ ἀρχιερέα ὑπὸ τὸν τίτλον «ἐπίσκοπος Μακαριουπόλεως Νικηφόρος» (αω'). Μεταξὺ ἄλ-

λων κοινωφελῶν ἔργων ἀνέκτισε τὴν ἐν Ἀχερώνῃ μητρόπολιν τῷ 1795. Παρητήθη τοῦ θρόνου ἕνεκεν ἀσθενείας τῷ 1801 λαμβάνων παρὰ τοῦ διαδόχου του ὡς ἐτήσιον γρόσια 1250.

1801 **Πανάρετος** Κύπριος τὴν πατρίδα. Μετατεθεὶς τῷ 1817 εἰς Προῦσαν καὶ εἶτα εἰς Νικομήδειαν, ἐψηφίσθη μητροπολίτης Μεθύμνης κατὰ Μάϊον τοῦ 1801. Συνέστησεν ἐν τῷ περιβόλῳ τῆς μητροπόλεως ἑλληνικὴν σχολὴν ἐπαρχιακήν, ἣν ἐπροίκισεν αὐτός τε καὶ οἱ ἐπαρχιῶται διὰ χρηματικῶν ἐράνων, ἐκ τῶν τόκων τῶν ὁποίων ἐμισθοδοτεῖτο ὁ διδάσκαλος, ὁμοτράπεζος καὶ ὁμοδίαιτος ὢν τῷ μητροπολίτῃ, διορίσας ὑπευθύνους ἐπισκόπους τῆς περιουσίας ταύτης τῆς σχολῆς ἀνὰ δύο ἄνδρας ἐκ Καλλονῆς καὶ Μολύβου, αὐτὸς ὢν πρόεδρος. Προὐκάλεσε δὲ πρὸς τοῦτο καὶ διατακτήριον σιγίλλιον ἐπὶ πατριαρχείας Κυρίλλου κατὰ Ἰούνιον τοῦ 1813, ὅπερ σώζουσι τὰ ἐν Ἀχερώνῃ ἀρχεῖα τῆς κοινότητος.

1817 **Παρθένιος** Ὁ τοὐπίκλην Κατσακούλης ἐκ Παμφίλων τῆς Λέσβου ἀπὸ Προϊλάβου καὶ εἶτα Φιλίππων καὶ Δράμας ἐγένετο Μηθύμνης κατὰ Ἰούνιον τοῦ 1817.

1821 **Κύριλλος** Παρῆν εἰς τὴν ἐκλογὴν τοῦ πατριάρχου Κωνσταντινουπόλεως Εὐγενίου τοῦ ἀπὸ Ηισιδίας τοῦ 1821.

1825 **Παρθένιος** Κατσακούλης τὸ δεύτερον ἀποθιώσας τὴν 19 Δεκεμβρίου 1831

1831 **Ἰάκωβος** Παλαιολόγος, Ἰωάννης τὸ κοσμικὸν ὄνομα, ἐκ τοῦ παρὰ τὸν Μόλυβον χωριδίου Πετρὶ τῆς Λέσβου. Ἀκροασάμενος τῶν διδασκάλων

Σαράφη καὶ Βενιαμίν, Κούμα καὶ Βάμβα καὶ διδάξας ἐπὶ πενταετίαν ἐν Μολύβῳ, καὶ ἐν Νικομηδείᾳ, ὡς οἰκοδιδάσκαλος τῶν παίδων Στεφάνου Βογορίδου, ἐχειροτονήθη διάκονος ἐπὶ πατριάρχου Κωνσταντινουπόλεως Ἀγαθαγγέλλου καὶ ἀμέσως δευτερεύων ἐγένετο· Μηθύμνης δὲ ἐξελέγη κατὰ Δεκέμβριον τοῦ 1831 ὑπὸ τοῦ σοφοῦ πατριάρχου Κωνσταντινουπόλεως Κωνσταντίνου τοῦ Α΄. Ἀπεβίωσε δὲ ἐπὶ τοῦ θρόνου τῇ 23 Σεπτεμβρίου 1842 ἐν τῇ κωμοπόλει Πέτρᾳ καὶ ἐτάφη ἐντὸς τοῦ ἐπὶ βράχου ἐκτισμένου ἐκεῖ ναοῦ τῆς Θεοτόκου.

1842 **Σωφρόνιος** Ὁ ἐκ Κάπης τῆς Λέσβου· ἀπὸ δευτερεύοντος ἐψηφίσθη ἐν τῷ ἐν Ξηροκρήνῃ ναῷ μητροπολίτης Μηθύμνης κατὰ τὸ 1842, ἔνθα μετὰ ἑπταετίαν ἀπεβίωσεν. Ἐπὶ τῆς ἀρχιερατείας αὐτοῦ ἐκάη ἡ τῶν Μηθυμναίων Μητρόπολις μετὰ τῶν Κωδίκων καὶ πάντων τῶν ἐπισήμων ἐγγράφων αὐτῆς.

1849 **Αὐξέντιος** Ὁ ἐκ Πάτμου· ἐχειροτονήθη Μηθύμνης κατ' Αὔγουστον τοῦ 1849· ἀπεβίωσε δὲ τῷ 1873, ὡς καὶ ὁ Σεβασμιώτατος Ἀμασείας Ἄνθιμος γράφει, ὀλίγον μετὰ τὸν θάνατον τῆς αὐταδέλφης αὐτοῦ προϊστάμενος τῆς κηδείας αὐτῆς.

1853 **Ἀγαθάγγελος** Ἀπὸ τὰ Φάρασσα τῆς Καππαδοκίας· ἐνεκρίθη μητροπολίτης Μηθύμνης κατὰ Σεπτέμβριον τοῦ 1853. Κατὰ Μάϊον δὲ τοῦ 1873 προήχθη εἰς τὴν μητρόπολιν Ἰκονίου, ὅπου καὶ ἀπέθανε τῷ 1885 Ἰουλίου 23. Ἐπὶ τῆς ἀρχιερατείας τούτου ἐκάη ἡ ἑλληνικὴ σχολὴ ἐν Ἀχερώνῃ συναποτεφρωθείσης καὶ τῆς μεγάλης καὶ πλουσίας βιβλιοθήκης αὐτῆς.

1873 **Παΐσιος** Τοὐπίκλην Κουρέντης, ἐκ Σκοπέλου τῆς Ἑλλάδος, Ἀπὸ τῆς μητροπόλεως Ἴμβρου, ἧς ἐψηφίσθη μητροπολίτης τὴν 20 Δεκεμβρίου 1863, ἐγένετο Μηθύμνης κατ' Ἀπρίλιον τοῦ 1873, ὅτε κατὰ τὸ 1881 μετετέθη εἰς Ἴμβρον.

1881 **Νικηφόρος** Τοὐπίκλην Γλυκᾶς ἀπὸ τοῦ χωρίου τῆς Ἴμβρου Γλυκέως, ἀνταλλάξας τὸν θρόνον πρὸς τὸν προκάτοχον τῆς Μηθύμνης Παΐσιον. Ἐκ τῶν λογιωτέρων ἀνδρῶν τοῦ γένους καὶ τῶν διακεκριμένων θεολόγων τῆς Ἐκκλησίας· διῴκησεν ἐπὶ δεκαπενταετίαν τὴν Μήθυμναν ἀποθανὼν ἐπὶ τοῦ θρόνου τῇ 20 Φεβρουαρίου τῷ 1896.

1896 **Στέφανος** Ὁ Σουλιώτης. Ἐκ τοῦ χωρίου Μαργάνων τῆς Κορυτσᾶς, τρόφιμος τῆς ἐν Χάλκῃ θεολογικῆς Σχολῆς καὶ τοῦ ἐθνικοῦ Πανεπιστημίου, Καθηγητὴς καὶ Ἱεροκῆρυξ ἐν Σμύρνῃ καὶ Παλαιᾷ Φωκαίᾳ χρηματίσας, προεχειρίσθη Μητροπολίτης Φιλαδελφείας κατὰ Ὀκτώβριον τοῦ 1887. Τὴν δὲ 17 Φεβρουαρίου τοῦ 1896 διωρίσθη μητροπολίτης Μηθύμνης, ὁ νῦν τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν.

ΗΓΟΥΜΕΝΟΙ

ΤΗΣ ΙΕΡΑΣ ΜΟΝΗΣ ΤΟΥ ΛΕΙΜΩΝΟΣ

ΟΝΟΜΑΤΕΠΩΝΥΜΑ*

ἐτ. Ἐγείρ.	ἐτ. Χριστ.	
	1526	Ἰγνάτιος ἐν ἁγίοις. Ὁ κτίτωρ.
	1530	Μεθόδιος, ὁ υἱὸς τοῦ κτίτορος.
	1576	Σέργιος.
993	1584	Μιχαήλ.
994	1585	Κορνήλιος.
999	1590	Σαμουήλ.
	1592	Διονύσιος.
	1595	Γαβριὴλ ἐκ Τσουκαλοχωρίου.
1008	1599	Δανιήλ.
1011	1602	Κλήμης.
	1602	Τιμόθεος.
1019	1610	Κορνήλιος.
1053	1643	Βενιαμίν.
	1648	Ραφαήλ.
	1648	Γρηγόριος.
	1651	Δαμιανός.
	1653	Ραφαήλ.
	1656	Διονύσιος.
	1660	Γαβριήλ.
1071	1660	Μακάριος.
1088	1676	Μαλαχίας.
1092	1680	Δαμιανός.

* Τὴν παροῦσαν τῶν ἡγουμένων σειράν, διακοπτομένην, ὡς φαίνεται, πολλαχοῦ, κατηρτίσαμεν ἐκ τῶν Κωδίκων τῆς Μονῆς καὶ τῶν πατριαρχικῶν καὶ τουρκικῶν ἐπισήμων ἐγγράφων.

ΠΝΕΥΜΑΤΙΚΟΝ ΚΕΝΤΡΟΝ ΑΕΙΜΝΗΣ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" • ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878 •

ΟΝΟΜΑΤΕΠΩΝΥΜΑ

ἔτ. Ἐγείρ.	ἔτ. Χριστ.	
1116	1707	Κοσμᾶς.
	1713	Δανιήλ.
1122	1714	Μάξιμος.
1124	1716	Θεοφάνης.
	1724	Γρηγόριος.
	1732	Δανιήλ.
	1734	Παρθένιος.
1146	1736	Παΐσιος.
	1738	Δανιήλ.
1150	1740	Γρηγόριος δι' αὐτοκρατορικοῦ Φερμανίου.
	1740	Διονύσιος » » »
	1745	Δανιήλ.
	1746	Διονύσιος.
	1755	Διονύσιος.
	1760	Ἰγνάτιος.
	1761	Δοσίθεος.
	1762	Σαμουήλ.
1174	1763	Ἰγνάτιος Δημητρίου.
	1774	Μισαήλ.
	1776	Διονύσιος.
1195	1780	Καλλίνικος δι' αὐτοκρατορικοῦ φερμανίου.
	1782	Μιχαήλ.
	1790	Διονύσιος.
	1790	Μακάριος.
	1791	Χρύσανθος Δηνιώτης.
	1795	Παπᾶ Ἄνθιμος.
		Γεδεών.
	1801	Ἄνθιμος.
	1812	Παπᾶ Στέφανος.
	1813	Παΐσιος ἐκ Σνεάμ.
	1814	Ἀρσένιος ἐκ Μολύβου.
	1816	Γαβριήλ.

ΟΝΟΜΑΤΕΠΩΝΥΜΑ

ἔτ. Ἐγείρ.	ἔτ. Χριστ.	
1233	1817	Χρύσανθος Δηνιώτης.
	1819	Ἰγνάτιος.
	1819	Στέφανος.
	1821	Παΐσιος.
	1822	Χρύσανθος.
	1825	Δανιὴλ ἐκ Βρυσᾶς.
	1827	Σεραφείμ.
	1829	Δανιὴλ ἐκ Μανδαμάδου.
	1830	Θεοφάνης.
	1831	Δανιήλ.
	1832	Σαμουὴλ ἐκ Δαφίων.
	1833	Μελέτιος.
	1833	Σεραφείμ.
	1835	Παρθένιος.
	1835	Σαμουήλ.
	1836	Παρθένιος.
	1839	Μελέτιος.
	1840	Ἄνθιμος.
	1840	Παΐσιος ἐκ Δαφίων.
	1841	Πορφύριος ἐκ Μανδαμάδου.
1260	1843	Νεόφυτος ἐκ Μυτιλήνης.
	1846	Μελέτιος ἐκ Μυτιλήνης.
	1847	Παΐσιος ἐκ Δαφίων.
	1849	Καλλίνικος ἐκ Μιστεγνῶν.
	1850	Παρθένιος ἐκ Μυτιλήνης.
	1851	Νεόφυτος ἐκ Μυτιλίνης τοὐπίκλην Καρανῖκος.
	1853	Σωφρόνιος ἐκ Παρακοίλων.
	1855	Χ″ Χρύσανθος ἐξ Ἱππείου τοὐπίκλην Καραγιάννης.
1274	1857	Πανάρετος ἐξ Ἁγίας Παρασκευῆς.
	1859	Νεόφυτος ἐκ Μυτιλήνης.
	1860	Σωφρόνιος ἐκ Παρακοίλων.
	1862	Καλλίνικος ἐκ Μιστεγνῶν.

ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ
ΤΑΡΥΣΗΣ 1878

ΟΝΟΜΑΤΕΠΩΝΥΜΑ

ἔτ. Ἐγείρ.	ἔτ. Χριστ.	
	1863	Πανάρετος ἐξ Ἁγίας Παρασκευῆς.
	1864	Νεόφυτος ἐκ Μυτιλήνης.
	1865	Γρηγόριος Πρωτοσύγκελλος ἐκ Μανδαμάδου.
	1867	Ἀγαθάγγελος ἐκ Παρακοίλων.
	1868	Νεόφυτος ἐκ Μυτιλήνης.
	1869	Σωφρόνιος ἐξ Ἱππείου.
	1870	Πανάρετος ἐξ Ἁγίας Παρασκευῆς.
	1874	Ρωμανὸς ἐκ Βατούσης.
	1876	Γεδεὼν ἐκ Πολιχνίτου.
	1877	Καλλίνικος ἐξ ἁγίας Μαρίνης.
	1878	Παρθένιος ἐξ Ἁγιάσσου (Περιστερᾶς) Ἐπίσκοπος.
	1882	Γεδεὼν ἐκ Πολιχνίτου.
	1883	Γρηγόριος Λέσβιος.
	1885	Καλλίνικος ἐξ ἁγίας Μαρίνης.
	1886	Ἄνθιμος ἐκ Παρακοίλων.
	1888	Γρηγόριος Πρωτοσύγκελλος ἐκ Μανδαμάδου.
	1890	Ἄνθιμος ἐκ Παρακοίλων.
	1893	Καλλίνικος Ἀρχιμανδρίτης ἐξ ἁγίας Μαρίνης.
	1894	Γρηγόριος Πρωτοσύγκελλος ὁ ἐκ Μανδαμάδου.
	1896	Γερμανὸς ἐκ Πλωμαρίου.
	1897	Κυπριανὸς Ἀρχιμανδρίτης ἐξ Ὑψηλομετώπου ὁ νῦν ἡγουμενεύων.

ΗΓΟΥΜΕΝΙΣΣΑΙ

ΤΗΣ ΙΕΡΑΣ ΜΟΝΗΣ ΤΗΣ ΜΥΡΣΙΝΙΩΤΙΣΣΗΣ

ΟΝΟΜΑΤΕΠΩΝΤΜΑ*

Χρονολογία	
1527	Μακαρία.
1530	Δομετιανή.
1839	Εὐπραξία.
1840	Θεοφανώ.
1844	Νυμφοδώρα ἐκ Μανδαμάδου.
1844	Ἀναστασία ἐκ Μανδαμάδου.
1845	Πελαγία ἐκ Φίλιας.
1846	Ἀναστασία ἐκ Μανδαμάδου.
1846	Πελαγία ἐκ Φίλιας.
1847	Ἀναστασία ἐκ Τσουκαλοχωρίου.
1848	Εὐπραξία ἐκ Κλειοῦς.
1849	Ἀναστασία ἐκ Τσουκαλοχωρίου.
1849	Φεβρωνία ἐκ Τελωνίων.
1850	Εὐπραξία ἐκ Κλειοῦς.

ΒΙΒΛΙΟΘΗΚΗ ΚΕΝΤΡΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

---

* Τὴν μακαρίαν ταύτην ρητῶς ἀναφέρει ὡς καθηγουμένην τῆς Μυρσινιωτίσσης μονῆς ὁ ἅγιος αὐτῆς ἱδρυτής. Δυστυχῶς τὰ ὀνόματα τῶν διαδόχων αὐτῆς μέχρι τῶν μέσων σχεδὸν τοῦ λήξαντος αἰῶνος, ἤτοι μέχρι τοῦ 1839, οὐδὲν διεφύλαξεν ἔγγραφον. Ἀλλ' εὐεξήγητόν ἐστιν ἡ ἀφάνεια μιᾶς συνεχοῦς, τριακοσίων ἐτῶν καὶ πλέον, διαδοχῆς τῶν ἀοιδίμων ἐκείνων ἡγουμενισσῶν τῆς Μυρσινιωτίσσης μονῆς, ἐὰν ἀναμνησθῶμεν ὅτι ἡ ἐν λόγῳ μονὴ ἐγένετο παραπάλωμα τοῦ πυρὸς περὶ τὰς ἀρχὰς τοῦ ΙΗ' αἰῶνος, ὅτε διαταγῇ τῆς Ὑψηλῆς Πύλης κατὰ τὸ 1242 ἔτος Ἐγείρας, ἤτοι κατὰ τὸ 1826 περίπου ἐπετράπη ἡ ἀνακαίνισίς της· καὶ ὅτι, ἐπειδὴ ὡς καὶ μέχρι τοῦ νῦν, ἐν τῇ ἐκεῖ Ἐκκλησίᾳ εἴθισται νὰ διαφυλάσσηται ὁ Κῶδιξ τῆς Μονῆς, συναπετεφρώθη καὶ οὗτος ἐν τῇ διαδρομῇ τότε τοῦ πυρός, ὅπερ τὰ πλεῖστα κελλία, τὴν ἐκκλησίαν καὶ τὰ τῆς ἐκκλησίας ἐξηφάνισεν.

ΟΝΟΜΑΤΕΠΩΝΥΜΑ

Χρονολογία	
1850	Ἀναστασία ἐκ Μανδαμάδου.
1853	Εὐπραξία ἐκ Κλειοῦς.
1855	Εὐπραξία ἐκ Κλομηδάδου.
1856	Φεβρωνία ἐκ Τελωνίων.
1857	Μυρανθία ἐξ Ὑψηλομετώπου.
1858	Φεβρωνία ἐκ Τελωνίων.
1859	Πορφυρία ἐκ Μανδαμάδου.
1860	Μυρανθία ἐξ Ὑψηλομετώπου.
1861	Πορφυρία ἐκ Μανδαμάδου.
1865	Εὐπραξία ἐκ Μολύβου.
1866	Μυρανθία ἐξ Ὑψηλομετώπου.
1867	Πορφυρία ἐκ Μανδαμάδου.
1869	Χριστονύμφη ἐκ Βαφειοῦ.
1870	Εὐφροσύνη ἐκ Κλειοῦς.
1889	Σωφρονία ἐκ Μανδαμάδου.
1889	Πελαγία ἐξ Ὑψηλομετώπου ἡ νῦν ἡγουμενεύουσα.

ΜΕΣΤΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΛΕΣΒΟΥ • ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1978 •

ΚΑΛΛΙΓΡΑΦΕΙΣ ΚΑΙ ΑΝΤΙΓΡΑΦΕΙΣ
ΤΗΣ ΙΕΡΑΣ ΜΟΝΗΣ ΛΕΙΜΩΝΟΣ

Χρονολογ.	Ἀριθ. τεύχους	ΟΝΟΜΑΤΕΠΩΝΥΜΑ
1322	35	**Μιχαὴλ** μοναχός, ταχυγράφος,
1429	134	**Θεόγνωστος** Ἐπίσκ. Μοκοτινίας, γραφεύς.
1442	117	**Δανιὴλ Ξενητός,** ἀντιγραφεύς.
1501	142	**Μαν. Μαγγούσης** ἀναγνώστης, γραφεύς.
1521	139	**Μάξιμος** ἱεροδιάκονος, γραφεύς.
1527	220	**Ἰγνάτιος** ὁ ἐν ἁγίοις κτίτωρ, καλλιγράφος.
1534	133	**Γεώργιος Κυνηγός,** ἀντιγραφεύς.
1539	110	**Ἰωάννης** ἱερεὺς ἐξ Ἀρτάκης, ἀντιγραφεύς.
1546	170	**Θεόφιλος** ἱερομόναχος, γραφεύς.
1552	268	**Μεθ. Ἰγν. Ἀγαλλιανὸς** φιλόκαλος γραφ.
1554	185	**Γρηγόριος** ἱερομόναχος, γραφεύς.
1554	39	**Σεραφεὶμ** ἱεροδιάκονος »
1567	258	**Μακάριος** διάκονος μονῆς Δουβρόδ. γραφ.
1567	190	**Νεόφυτος** ἐπίσκοπος Ταλαντίου, γραφεύς.
1572	289	**Παρθένιος** Ἐκκλησιάρχ. Μυτιλήνης γραφ.
1572	259	**Γαβριὴλ** ἱερομόναχος μουσικός, γραφεύς.
	274	**Μάρκος** ἱερομόναχος, ἀντιγραφεύς.
1573	88	**Ἰωάσαφ** ἱερομόναχος ἐκ Μυτιλήνης, ἀντιγρ.
1576	199	**Ἀθανάσιος** μητροπολίτης Ἐφέσου γραφεύς.
1583	168	**Μητροφάνης** ἱερομόναχος, γραφεύς.
1588		**Ἱερόθεος** ἱεροδιάκονος, καλλιγράφος.
1591	119	**Νεόφυτος** ἱερομόναχος, ἀντιγραφεύς.
1597	60	**Ματθαῖος** ἱερεύς, γραφεύς.
1601	127	**Κύριλλος** μοναχός, γραφεύς.
1602	96+181	**Ραφαὴλ** ἱερομόναχος, καλλιγράφος.
1604	123	**Κορνήλιος** μοναχός, γραφεύς.
1604	166	**Ἰωσὴφ** μοναχός, γραφεύς.
1604	155	**Δανιὴλ** ἱερομόναχος, καλλιγράφος.
1607	15+51	**Κορνήλιος** μοναχός, »
1609	138	**Ραφαὴλ** ἱερομόναχος, γραφεύς.

ΟΝΟΜΑΤΕΠΩΝΥΜΑ

Χρονολογ.	Ἀριθ. τεύχους	
1617	187+197	**Ματθαῖος** ἱερομόναχος, γραφεύς.
1631	200	**Ἰάκωβος** μοναχός, γραφεύς.
1633	160	**Θεοδόσιος** Μηδείας, καλλιγράφος.
1630	120	**Κωνσταντῖνος** ἱερομόναχος, ἀντιγραφεύς.
1649	245	**Ἰάκωβος** ἀρχιερεὺς μουσικός, καλλιγράφος.
1649	161	**Ἰωάννης Σαμαρᾶ** ἱερεύς, γραφεύς.
1649	167	**Δαμιανός,** γραφεύς.
1662		**Σωφρόνιος,** γραφεύς.
1667	109	**Σεραφεὶμ** ἱερομόναχος ἐκ Καλλονῆς καλλ.
1673	159+239	**Σεραφεὶμ** ὁ αὐτὸς ἱερομόναχος, μουσικός.
1676	260	**Δανιὴλ** ἀρχιερεὺς Μυτιλήνης, μουσικός.
	131	**Ματθαῖος** ἱερομόναχος ΙΣΤ′ ἑκατ. καλλιγρ.
	165	**Γαβριὴλ** μοναχὸς ΙΣΤ′ ἑκατοντ. καλλιγράφ.
	164	**Κωνστάντιος** μοναχὸς ΙΖ′ ἑκατοντ. καλλ.
1700	256	**Ἰωάννης Κλαδᾶς** Λαμπαδάριος, μουσικός.
	194	**Παΐσιος** ἱερομόναχος ἐκ Μυτιλήνης, γραφ.
1787	71+243+246	**Γεννάδιος** ἱερομόναχος μουσικός, καλλιγρ.
	201	**Ἱερεμίας** ἱερομόναχος ΙΓ′—ΙΖ′ ἑκατ. γραφ.
	209	**Γεράσιμος** μοναχὸς ΙΖ′ ἑκατοντ. γραφεύς.
	212	**Χριστοφόρος** ΙΖ′ ἑκατοντ. γραφεύς.
	219	**Ἀκάκιος** ἱερομόναχος ΙΖ′ ἑκατοντ. γραφεύς.
1802	247	**Γαβριὴλ** ἱερομόναχος μουσικὸς καὶ γραφ.
1828	272	**Παρθένιος** ἱερομόναχος μουσικὸς καὶ γραφ.
	250	**Κύρ.** ἀρχιερ. ἐκ Μαρμαρᾶ ΙΗ′ ἑκ. μουσ.γραφ.
	240	**Νεόφυτος** ἱερομ. ΙΗ′ ἑκατοντ. μουσ. γραφ.
	192	**Μελέτ.** ἀρχιμ. ἐξ Ἀχερώνης ΙΗ′ ἑκ. καλλιγρ.

ΙΔΡΥΤΑΙ ΚΑΙ ΕΥΕΡΓΕΤΑΙ

ΤΩΝ ΜΟΝΩΝ ΛΕΙΜΩΝΟΣ ΚΑΙ ΜΥΡΣΙΝΙΩΤΙΣΣΗΣ

Χρονολογία	ΟΝΟΜΑΤΕΠΩΝΥΜΑ
	Ξενητὸς ἱερεὺς—Δανιὴλ ἱερεὺς—Ἰωάννης ἱερεὺς—Μανουὴλ ἱερεὺς—Μιχαὴλ ἱερεὺς—Θεόδωρος ἱερεὺς—Ἰωάννης ἱερεὺς—Λουκᾶς ἱεροδιάκονος—Ἰωάννης ἱερεὺς—Ἰωάννης ἱερεὺς—Μανουὴλ ἱερεὺς—Γεώργιος ἱερεὺς—Ζαννέτος ἱερεὺς—Σεβαστιανὸς ἱερεὺς—Μανουὴλ ἱερεὺς—Γεώργιος ἱερεὺς—Δημήτριος ἱερεὺς—Πέτρος ἱερεὺς—Ἰωάννης ἱερεὺς—Γεώργιος ἱερεὺς—Ἀναστάσιος ἱερεὺς—Ἰωάννης ἱερεὺς—Μανουὴλ ἱερεὺς—Μαρία πρεσβυτέρα—Καλλὴ πρεσβυτέρα—Εἰρήνη πρεσβυτέρα—Δούκαινα πρεσβυτέρα—Εἰρήνη πρεσβυτέρα—Σκαρλάτη πρεσβυτέρα—Κομνηνὴ πρεσβυτέρα—Σεβαστὴ πρεσβυτέρα—Χρυσοβεργίνα πρεσβυτέρα*.
1442	Δανιὴλ Ξενητοῦ ἱερεύς.
1487	Κυρὰ Ξενητοῦ ἱέρεια ἰδιοκτήτρια τῆς Μυρσινιωτίσσης.
1527	Μανουὴλ Ἀγαλλιανὸς ἱερεὺς ἰδιοκτήτης τῆς τε Μυρσινιωτίσσης μονῆς καὶ τῆς τοῦ Λειμῶνος.
1527	Ἰγνάτιος Ἀγαλλιανὸς ὁ Ἅγιος. Ἀνακαινιστὴς τῶν μονῶν Μυρσινιωτίσσης καὶ Λειμῶνος.
1527	Μακαρία μοναχὴ καθηγουμένη τῆς Μυρσινιωτίσσης.

* Πάντα ταῦτα τὰ ὀνόματά εἰσι γεγραμμένα ἐν βιβλίῳ τῆς Προθέσεως κατὰ τὸ ἔτος ,ζι' (1502)· καὶ ἐμνημονεύοντο βεβαίως εἰς τὰς ἱεροτελεστίας τῶν Μονῶν· ἀλλ' ἂν τὰ ὀνόματα ταῦτα ἀνήκωσιν εἰς γενεὰν προγενεστέραν τοῦ ἁγίου Ἰγνατίου καὶ τοῦ πατρός του Μανουήλ, ἢ εἰσὶ σύγχρονα τούτων ἢ καὶ μεταγενέστερα, τοῦτο τυγχάνει ἀβέβαιον.

ΟΝΟΜΑΤΕΠΩΝΥΜΑ

Χρονολογία	
1527	Ἀθανασία μοναχὴ Ροδίτισσα.
1527	Δομετιανὴ μοναχὴ Ροδίτισσα. Τῷ δὲ 1530 καθηγουμένη.
1527	Μάρθα μοναχή.
1527	Εὐγενία μοναχή.
1527	Μακαρία μοναχὴ Πολίτισσα.
1527	Μεθόδιος Ἀγαλλιανὸς υἱὸς τοῦ Ἁγίου· μοναχός. Τῷ δὲ 1531 καθηγούμενος καὶ διάδοχος τοῦ πατρὸς αὐτοῦ.
1527	Γερμανὸς ἱερομόναχος καὶ πνευματικός.
1527	Μακάριος Οἰκονόμος.
1527	Ἡσαΐας μοναχός.
1527	Ἰωαννίκιος »
1527	Νεόφυτος »
1527	Μελέτιος »
1527	Ἀθανάσιος »
1527	Ματθίας »
1527	Δωρόθεος »
1527	Μαλαχίας »
1536	Μαχθαρίνη Ἀγαλλιανοῦ ἐκ Σουμούριας.
1538	Ἀγγελίνα Νικολάου ἐκ Φάραγγος.
1554	Θεοδώρα Ἀγαλλιανοῦ ἐκ Σουμούριας.
1572	Θεοδωρούλα Ἀγαπίου.
1575	Σίλβεστρος Πατριάρχης Ἀλεξανδρείας.
1576	Σέργιος καθηγούμενος.
1576	Μαυροϊωάννης.
1578	Γαβριὴλ μοναχὸς (κατὰ κόσμον ἐπωνυμούμενος Ριγόπουλος) ἀφιερώσας τῷ Λειμῶνι τὸ ἐν Παρασιγίῳ Καλλονῆς μονύδριον τοῦ ἁγίου Γεωργίου.
1584	Κελαδίτης Μαρζέλος—Μανουὴλ ὁ τοῦ Χιμευτοῦ—ὁ κὺρ Κωνσταντῆς ὁ τοῦ Λέου—κὺρ Δημήτρης Ἐμμανουὴλ τοῦ Κεφαλᾶ—κὺρ Παῦλος τοῦ Ράλ-

ΟΝΟΜΑΤΕΠΩΝΥΜΑ

Χρονολογία	
	λη—κὺρ Ἀντώνης Δημητρίου τοῦ Κεφαλᾶ—κὺρ Δούκας ὁ λεγόμενος τῆς Θεοδώρας, οἱ Ἐπίτροποι τῶν μονῶν τοῦ ἁγίου Ἰγνατίου.
1589	Λασκαρίνα Σεβαστοῦ ἐκ Σουμούριας.
1592	Ἀνδρόνικος Σεβαστοῦ μοναχός.
1596	Ραφαὴλ μητροπολίτης Μηθύμνης καὶ ἀπὸ ταύτης Οἰκουμενικὸς Πατριάρχης.
1599	Ρίγαινα Ἀβαγιαννοῦ ἐκ Μυτιλήνης.
1601	Παΐσιος μητροπολίτης Μυτιλήνης ἐκ Κεραμίου.
1618	Γρηγόριος μητροπολίτης Μηθύμνης.
1629	Κωνστάντιος μητροπολίτης Λήμνου καὶ Μυτιλήνης.
1663	Ραχὴλ Ἀδὰμ ἐκ Μυτιλήνης.
1680	Περμαθιὰ Μιχαλάκη ἐξ Ἀχερώνης.
1769	Αἰκατερίνη Χριστόφα ἐκ Μυτιλήνης.
1772	Ἀμερισούδα Σωτήρχου ἐκ Μυτιλήνης.
1782	Ἀπόστολος Μοσκοῦς ἐκ Μυτιλήνης.
1800	Ἀναστασία Κυριάκου Τζομπάνη ἐξ Ἀφάλωνος.
1805	Ἰγνάτιος Κωνσταντίνου ἐξ Ἀγιάσσου.
1810	Χρύσανθος Ντινιώτης ἐκ Καλλονῆς.
1811	Ἀγαλλιανὸς Γιαννάκη.
1838	Γεώργιος Εὐστρατίου ἐκ Δαφίων.
1840	Πορφύριος ἱερομόναχος ἐκ Μανδαμάδου.
1850	Γεράσιμος ἱερομόναχος ἐκ Παρακοίλων.
1860	Χ″ Εὐστράτιος ἐκ Παρακοίλων.
	Ἰωάννης Σταμάτη ἐξ ἁγίου Λέντη.
	Δημήτριος Κωνσταντίνου ἐκ Μυτιλήνης.
	Κοτσᾶ Ράλλης Μανωλάκη ἐξ Ἀχερώνης.
	Δημήτριος Μιχαλάκη ἐκ Καλλονῆς.
1870	Ἰγνατιὲφ ἐκ Ρωσσίας.
1870	Μαρία Θεοδωρόβνα ἐκ Ρωσσίας.

ΤΕΛΟΣ ΤΟΥ Α′ ΜΕΡΟΥΣ


ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ

περιέχον τὰς ἱερὰς Ἀκολουθίας τῶν ἐν ἁγίοις
Πατέρων ἡμῶν Ἰγνατίου καὶ Ἀλεξάνδρου
ἀρχιεπισκόπων Μηθύμνης καὶ δύο
παρακλητικοὺς κανόνας τῶν
Ἀρχαγγέλων.

ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

ΑΚΟΛΟΥΘΙΑ

τοῦ

ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΓΝΑΤΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΜΗΘΥΜΝΗΣ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΙΓΑΙΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΛΑΙΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ ΙΔΡΥΣΗΣ 1811

ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

Χρύσανθος Ἱερομόναχος ὁ ἐξ Ἁγιάσου κωμοπόλεως τῆς νήσου Μυτιλήνης, τοῖς ἐντυγχάνουσι τὸ χαίρειν καὶ ὑγιαίνειν.

Ἐπειδήπερ ἕκαστος τῶν ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ πάλαι ἁγίων ἰδίαν ἔσχεν ἀκολουθίαν συντεταγμένην, ψάλλεσθαι παρὰ πάντων ἐν τῇ μνήμῃ αὐτοῦ, πολλοὶ δὲ καὶ τῶν νέων, καὶ οὐδείς πω μέχρι τοῦδε προεθυμήθη συντάξαι καὶ περὶ τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰγνατίου τοῦ θαυματουργοῦ, ἀλλ' οἱ θέλοντες αὐτὸν ἑορτάζειν παρ' ἑτέρων ἁγίων πολλάκις ἀφορμὰς λαμβάνειν ἠναγκάζοντο, καὶ παρ' οὗ μέν, Τροπάρια ἔν τε τῷ ἑσπερινῷ καὶ τῷ ὄρθρῳ συνερανίζοντο, παρ' οὗ δέ, καὶ ὅλον Κανόνα. Καὶ οὕτως οὐκ ἐξ ὧν οὗτος Θεῷ εὐηρέστησεν, ἀλλ' ἐν οἷς ἕτεροι κατὰ Χριστὸν τὸν βίον διήνυσαν τοὺς τῆς Ἀκολουθίας ὕμνους ἐπλήρουν ἐν τῇ τούτου ἐτησίῳ ἑορτῇ. Τούτου χάριν Ἀθανάσιος ὁ ἐκ Ῥαιδεστοῦ παρὰ τῷ

Πανιερωτάτῳ Μηθύμνης διατρίβων κυρίῳ κυρίῳ Διονυσίῳ, μὴ φέρων ἑτέραις στολαῖς τὸν ἅγιον καταστολίζεσθαι, τὸ λεγόμενον, ἀλλ' ἐκ τῶν οἰκείων ὡς παρὰ Θεοῦ δεδοξασμένον μεγαλύνεσθαι, εὐπρεπὲς κρίνας, εὐλαβείᾳ τῇ πρὸς αὐτὸν παρακινηθείς, ἐκ τῶν αὐτοῦ τοῦ ἁγίου πλεονεκτημάτων ταύτην συνέταξε τὴν ἀκολουθίαν εἰς δόξαν αὐτοῦ, καί μοι ἀντεγράψαι φιλαδέλφως ἐπέδωκεν. Ἀποδεξάμενοι τοίνυν τὸ πρόθυμον τοῦ ἀνδρός, καὶ τὴν πρὸς τὸν ἅγιον αὐτοῦ εὐλαβητικὴν κλίσιν, μέμνησθε πρὸς Κύριον οἱ ἀναγινώσκοντες. Καί μοι τῆς ἀντιγραφῆς, εἴ τι κατὰ ἄγνοιαν παρέδραμον, μετὰ τὴν φιλάδελφον ἐπιδιόρθωσιν, τὴν ἀπὸ καρδίας συγγνώμην ἀπόδοτε.

Ἔρρωσθε, ᾳψπδ' Ἰουλίου κε'.

Τῇ δεκάτῃ τετάρτῃ τοῦ Ὀκτωβρίου μηνὸς ψάλλεται
ἡ ἀκολουθία τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν
Ἰγνατίου Ἀρχιεπισκόπου Μηθύμνης
τοῦ νέου καὶ θαυματουργοῦ.

Ἐν τῷ μικρῷ Ἑσπερινῷ μετὰ τὸν Προοιμιακὸν εἰς τὸ, **Κύριε ἐκέκραξα,** ἱστῶμεν στίχ. δ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια γ' δευτεροῦντες τὸ πρῶτον.

Ἦχος α'.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Πανεύφημε πάτερ τοῦ Χριστοῦ, Ἱεράρχα μέγιστε, χαίρων ἐν γῇ πεπολίτευσαι, ὁσίως ἅγιε, καὶ τοῦ παναγίου Πνεύματος ἐνδέδειξαι, τῆς χάριτος δοχεῖον πανέντιμον, καὶ κατεφώτισας, ὁδηγῶν πρὸς τὴν ἀλήθειαν, τὰς καρδίας τῶν πιστῶν, Ἰγνάτιε.

Προσέλθωμεν ἅπαντες πιστοί, καὶ ἀπαρυσώμεθα, ἁγιασμὸν ἐκ τῆς λάρνακος, οὗ ἐναπόθετον, καθορᾶται πᾶσι, τὸ τίμιον λείψανον, θαυμάτων ἐνεργοῦν τὰ παράδοξα, τῷ μετὰ πίστεως, ἐκβοῶντι πρὸς τὸν Κύριον, Ἰγνατίου λιταῖς με διάσωσον.

Ὡραίοις ποσί σου ἀνδρικῶς, ὅφιν κατεπάτησας, τὸν νοητὸν ὦ Ἰγνάτιε, καὶ ἀγωνίσμασι, τοῖς ἀσκητικοῖς σου, κούφως ὑπερβέβηκας, τῶν κάτω φθειρομένων, καὶ ἔφθασας, πρὸς τὰ

ἀΐδια, τοῦ Θεοῦ, ᾧ παριστάμενος, ἐν τοῖς ἄνω ὑπὲρ πάντων πρέσβευε.

Δόξα. Ἦχος α'.

Τὸν διὰ Χριστὸν ἐπίπονον βίον σου ὅσιε Πάτερ, τίς ἂν κατ' ἀξίαν ἐφίκοιτο διηγήσασθαι; θεοφόρε Ἰγνάτιε. Σὺ γὰρ ὡς ἀδάμας στερρῶς τὸ τῆς ἡμέρας βάρος καὶ τὸν παγετὸν τῆς νυκτὸς ἤνεγκας, ἄχρις οὗ τὰς σεπτάς σου μονὰς κατὰ θυμὸν ἀπαρτίσῃς, καὶ πολλοὺς προσαγάγῃς Χριστῷ δι' αὐτῶν. Σὺ καὶ τὸ δοθέν σοι τάλαντον τοῦ Εὐαγγελίου ὡς ἀγαθὸς ἐργάτης ἀρχιερατικῶς ἐπηύξησας. Ἀνθ' ὧν ἤδη περιπολεύων ἐν οὐρανοῖς, ἀξίως τῶν πόνων σου παρὰ τοῦ μισθαποδότου Θεοῦ χαίρων ἀκούεις· Εἴσελθε, δοῦλε, εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.

Καὶ νῦν. Θεοτοκίον.

Χαίροις παρ' ἡμῶν παρθένε Θεοτόκε τὸ σεπτὸν κειμήλιον ἁπάσης τῆς οἰκουμένης, ἡ λαμπὰς ἡ ἄσβεστος, τὸ χωρίον τοῦ ἀχωρήτου. Χαίροις ἐξ ἧς ἀμνὸς ἐτέχθη, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

Εἰς τὸν στίχ, στιχηρὰ προσόμοια, ἦχος β'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Δεῦτε νῦν ψαλμικῶς τῶν φιλεόρτων στίφη, Χριστοῦ τὸν Ἱεράρχην, ὑμνήσωμεν συμφώνως, Ἰγνάτιον τὸν ἔνδοξον.

Στίχ. **Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.**

Ὄρη τε καὶ βουνοί, σκιρτήσατε Μηθύμνης, ὅτι ὃν ἐν ὁρίοις, ἐθρέψατε οἰκείοις, ὑμᾶς ὑπερεδόξασεν.

Στίχ. **Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται.**

Δόξα ἱεραρχῶν, καὶ τῶν ὁσίων κλέος, τῷ βίῳ σου κατέστης, Ἰγνάτιε τρισμάκαρ, Ἀγγέλοις δὲ συνόμιλος.

Δόξα, Καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Πάναγνε Μαριάμ, χριστιανῶν ἡ σκέπη, ὃν ἔτεκες ἀσπόρως, Χριστὸν τὸν ζωοδότην, ὑπὲρ ἡμῶν ἱκέτευε.

Νῦν ἀπολύεις. Τὸ **Τρισάγιον.** Τὸ **Πάτερ ἡμῶν.** Καὶ τὸ τροπάριον ἦχος α΄. **Τὸν ποιμενάρχην Μηθύμνης Ἰγνάτιον ᾄσμασι.** Ζήτει ἐν τῷ μεγάλῳ Ἑσπερινῷ. Εἶτα Θεοτοκίον. Καὶ ἀπόλυσις.

Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ εἰς τὸ λυχνικὸν τὸ **Μακάριος ἀνήρ,** τὸ α΄ Ἀντίφωνον. Εἰς τὸ **Κύριε ἐκέκραξα** ἱστῶμεν στίχ. ι΄ καὶ ψάλλομεν στιχηρὰ ἦχος α΄.

Τῶν οὐρανίων ταγμάτων.

Τὴν σὴν πανίερον μνήμην, πάτερ Ἰγνάτιε, πιστῶς ἐπιτελοῦντες, ἐξαιτούμεθα πόθῳ· χάριν τε παρέχειν ἡμῖν δαψιλῆ, τοῖς Χριστοῦ βαίνειν ἴχνεσι, καὶ προσβολὰς ἐναντίας τῶν δυσμενῶν, ἀπωθεῖν ἀεί, πρεσβείαις σου.

Ὅμοιον.

Μετὰ Θεὸν τὰς ἐλπίδας σοὶ ἀνεθέμεθα, οἱ σοὶ προσπεφευγότες, δοῦλοί σου Ἱεράρχα· διὸ ὡς παρρησίαν ἔχων Χριστῷ μὴ διαλείπῃς δεόμεθα, ὑπὲρ ἡμῶν ἱκετεύειν οἷα πατὴρ συμπαθέστατος, Ἰγνάτιε.

Ὅμοιον.

Οἱ τὰς σεπτάς σου οἰκοῦντες μονάς, Ἰγνάτιε, καὶ πέριξ χώρα πᾶσα Μηθυμναίων σκιρτῶσι, σήμερον τελοῦντες φαιδρὰν ἑορτήν, ἐπὶ σῇ μνήμῃ, ἅγιε, καὶ εὐωδίας πληροῦνται πνευματικῆς, ἀσπαζόμενοι τὴν κάραν σου.

Ἕτερα στιχ. ἦχος πλ. δ΄.

Ὦ τοῦ παραδόξου θαύματος.

Ὄντως θαυμαστὸς Ἰγνάτιε, σὺ ἀνεδείχθης κανών, ἀρετῆς καὶ κατηύγασας, πᾶσαν τὴν ὑφήλιον, ταῖς ἐνθέοις σου

πραξεσι, καταπαλαίσας τὸν πολυμήχανον, νήπιον ὥσπερ αὐτὸν παιζόμενον, ἔδειξας, ὅσιε, διὸ καὶ δεδόξασαι εἰς οὐρανούς, καὶ χαίρων παρίσταται τῷ τρισηλίῳ φωτί.

Πάτερ πατέρων, Ἰγνάτιε, Ἱεραρχῶν καλλονή, ἀσθενούντων ἐπίσκεψις, καταπονουμένων τε, θερμοτάτη ἀντίληψις, καὶ θλιβομένων χαρὰ ἀνέκλειπτος, χειμαζομένων λιμὴν ὁ εὔδιος, ὤφθης, μακάριε, ἐπὶ γῆς γενόμενος, μετὰ σαρκός, ὅθεν καὶ νῦν πάρεσο, πᾶσιν ἡμῖν βοηθός.

Χάριν θεόθεν δεξάμενος, πάθη ποικίλα σαρκός, θεραπεύειν τῶν πίστει σου, τῷ ναῷ Ἰγνάτιε, προσιόντων θερμότατα ὀξὺς προφθάνεις τοῖς τὸ σὸν ὄνομα ἐπικαλουμένοις εἰς ἀντίληψιν, ὅθεν νῦν ἅπαντες συνελθόντες ᾄσμασι χρεωστικῶς, πόθῳ σὲ γεραίρομεν καὶ μακαρίζομεν.

Δόξα. Ἦχος πλ. δ΄.

Πνευματικῶς εὐφρανθῶμεν σήμερον, ὦ φιλέορτοι, ἐπὶ τῇ μνήμῃ τοῦ θεράποντος Χριστοῦ, Ἰγνατίου τοῦ παμμάκαρος· ὅτι κόσμον καὶ τὰ ἐν κόσμῳ ἐξ ἀπαλῶν ὀνύχων βδελυξάμενος, παρὰ Θεῷ γῆν ἡρετίσατο. Πνευματικὸς πατὴρ πρῶτον ἐν σκηνώμασιν ἀναδειχθεὶς ἱεροῖς, καὶ πνευματικὸς ποιμὴν ὕστερον λογικῶν θρεμμάτων τῇ Μηθυμναίων Ἐκκλησίᾳ θεόθεν ἀποσταλείς. Ἐπ' ἀμφοτέροις δὲ διαπρέψας ὁσίως, μυροβλήτης γενέσθαι μετὰ πότμον ἠξίωται· καὶ παριστάμενος τῇ Τριάδι, ἀδιαλείπτως πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον ὁ αὐτός.

Τίς μὴ μακαρίσῃ σε, παναγία Παρθένε; Τίς μὴ ἀνυμνήσῃ σου τὸν ἀλόχευτον τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

ΕΙΣΟΔΟΣ

Τὸ **Φῶς ἱλαρόν.** Προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. Ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα. Ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὐστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἀλοῦνται. Καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλεισουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν

ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν· καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώπων, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς. Ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἶθ' οὕτως ἡ συνήθης ἐκτενὴς παρὰ τοῦ ἱερέως. Τὸ **Καταξίωσον.** Εἶτα τὸ **Πληρώσωμεν** καὶ τὰ ἑξῆς.

Εἰς τὴν Λιτὴν ψάλλομεν στιχηρὸν τῆς Μονῆς. Ἦχος α'.

Τῶν νοερῶν δυνάμεων ἀρχιστράτηγοι, οἱ παρεστῶτες ἀπαύστως τῷ δεσποτικῷ θρόνῳ, πρεσβεύσατε πρὸς Κύριον, εἰρήνην τῷ κόσμῳ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἕτερα στιχηρὰ Ἰδιόμελα τοῦ ἁγίου Ἰγνατίου. Ἦχος α'.

Ἡ πανέντιμος μνήμη σου, πάτερ Ἰγνάτιε, ὡς ἄλλος ἡμῖν ἥλιος ἀνατείλασα, πάντας ἐφαίδρυνε τοὺς φιλεόρτους σου. Τὴν γὰρ θείαν κάραν σου προκειμένην ὁρῶντες, τὸν αὐτόν σε πάλιν ὡς πολύτιμον ἄλλον πλουτοῦντες πιστεύομεν θησαυρόν, καὶ εὐλαβῶς αὐτὴν προσκυνοῦντες, γηθοσύνως σοι κράζομεν.

Πάτερ ἅγιε τῇ πρὸς Θεόν σου θερμῇ μεσιτείᾳ, ἀξίωσον ἡμᾶς, καθάπερ νῦν, ἐτησίως, ὑμνεῖν καὶ δοξάζειν σε.

Ὁ αὐτός.

Τὸν διὰ Χριστὸν ἐπίπονον βίον σου, ὅσιε Πάτερ, τίς ἂν κατ' ἀξίαν δυνηθείη διηγήσασθαι, θεοφόρε Ἰγνάτιε; Σὺ γὰρ ὡς ἀδάμας στερρῶς, τὸ τῆς ἡμέρας βάρος καὶ τὸν παγετὸν τῆς νυκτὸς ἤνεγκας, ἄχρις οὗ τὰς σεπτάς σου Μονὰς ψαλμικῶς εὐτρεπίσῃς, καὶ πολλοὺς προσαγάγῃς Χριστῷ δι' αὐτῶν. Σὺ καὶ τὸ δοθέν σοι τάλαντον τοῦ Εὐαγγελίου ὡς ἀγαθὸς ἐργάτης ἀρχιερατικῶς ἐπηύξησας. Ἀνθ' ὧν ἤδη περιπολεύων ἐν οὐρανοῖς, ἀξίως τῶν πόνων σου, παρὰ τοῦ μισθαποδότου Θεοῦ χαίρων ἀκούεις· Εἴσελθε δοῦλε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.

Ὁ αὐτός.

Ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν τοῦ Κυρίου, ὅσιε, τὰς ἱεράς σου Μονὰς ἐθεμελίωσας· οὐδαμῶς γὰρ ἴσχυσαν ταύτας διασαλεῦσαι, οἱ σφοδρῶς κατ' αὐτῶν ἐπιπνεύσαντες κλύδωνες, μένουσαι δὲ διὰ παντὸς ἀσινεῖς τῇ χάριτί σου τὰς ἀριστείας σου πᾶσι μεγαλοφώνως κηρύττουσι· καὶ ἀκαταπαύστως δοξολογοῦσι, τὸν σὲ δοξάσαντα Κύριον.

Καθοπλισθεὶς τῇ δυνάμει τοῦ Σταυροῦ, τρισμάκαρ Ἰγνάτιε, εἰς τὸν ἄδυτον γνόφον τῆς ἄνω φιλοσοφίας εἰσέδυς μυστικῶς καὶ τῇ θεωρίᾳ ἀνευρών, ὃν ἐπόθησας πολύτιμον μαργαρίτην, μεγαλέμπορος ἐγένου πολλοῖς, τῆς οὐρανίου βασιλείας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἐν ᾗ γηθοσύνως σὺν Ἀγγέλοις χορεύων, πρέσβευε ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα Ἦχος δ'.

Ἀποστολικῶς διαπρέψαντα τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ Ἀπόστολον ἄλλον σε τῇ ἀρχιερωσύνῃ ἡ τοῦ Πνεύματος χάρις ἀπέδειξεν, οὐ γάρ ἔδει σὲ τὸν λύχνον ὑπὸ τὸ μό-

διον κρύπτεσθαι, ἀλλ' ἐπὶ τὴν λυχνίαν τεθῆναι, ἵνα πᾶσιν ἡμῖν φαίνῃς τῷ ἁπλέτῳ φωτὶ τῶν λόγων σου, καὶ τῷ κάλλει τῶν ἐν ἀρετῇ ἔργων σου διεγείρῃς ἡμᾶς πρὸς δόξαν τοῦ οὐρανίου Πατρός. Ὃν προσκυνοῦντες κατὰ χρέος, τὴν εἰς ἡμᾶς διὰ σοῦ ἄκραν ἀγαθότητα αὐτοῦ δοξάζομεν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου·

Εἰς τὸν στιχ. στιχηρὰ προσόμοια. Ἦχος δ'.

Ὡς γενναῖον ἐν μάρτυσι.

Τὴν σεπτήν σου πανήγυριν, ἐκτελοῦντες, Θεόσοφε, σὲ ἐπικαλούμεθα, πάτερ ἅγιε πάσης ὀργῆς τε καὶ θλίψεως, ἡμᾶς διαφύλαττε. Τοῦ δοξάζειν σε ἀεί, εὐχαρίστως καὶ ἅπασι τὰ παράδοξα, παντα χοῦ τῶν θαυμάτων σου, κηρύττειν, διαπύρως Μεθυμναίων τὸν προστάτην γεραίροντες.

Ὅμοιον.

Στιχ. **Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.**

Τὴν ζωὴν ἣν διήνυσας, ἐπιπόνως, Ἰγνάτιε, πάντες ἀνευφήμησαν οἱ ποθήσαντες, τὸν ἐν Χριστῷ βίον, ὅσιε, διὸ καὶ προσήρχοντο, πλήθη σοι τῶν μοναστῶν εὐλαβῶς ἔνθα ἔπηξας, παναοίδιμε, τὰς σεπτάς σου μονάς, καὶ ὁλοτρόπως, ἑαυτούς σοι ἀνετίθουν, κλέος Μηθύμνης καὶ καύχημα.

Ὅμοιον.

Στίχ. **Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται.**

Τῷ Θεῷ παριστάμενος, μετὰ πάντων, Ἰγνάτιε, τῶν Ἁγίων, πρέσβευε, ὅπως ἵλεως, ἁμαρτωλοῖς ἡμῖν γένηται, ἐν ὥρᾳ τῆς κρίσεως, καὶ μερίδος δεξιᾶς, παραστάτας ἐνδείξηται, ἡμᾶς ἅπαντας, καὶ τρυφῆς παραδείσου ἀξιώσῃ, τῇ ἰδίᾳ συμπαθείᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δόξα. Ἦχος πλ. α΄.

Ἐν τῇ πρὸς Θεὸν ἐκδημίᾳ σου, Ἰγνάτιε ὅσιε, ἀθυμίας νέφος τῷ πλήθει τῶν μαθητῶν σου ἐπέπεσε, καὶ παριστάντες τὴν κλίνην σου, θρηνοῦντες ἔλεγον. Πάτερ ἡμῶν Ἅγιε, μὴ ἐάσῃς ἡμᾶς ὀρφανούς, οὓς διὰ τῶν καμάτων σου ἐκ τοῦ δρυμοῦ τῆς κοσμικῆς συγχύσεως πρόρριζον ἀποσπάσας, εἰς τὸν λειμῶνα τοῦτον τῆς ἡσυχίας μετεφύτευσας καὶ τῇ πνευματικῇ ἀρδείᾳ τῶν λόγων σου ὡς καλὸς φυτοκόμος κατήρδευσας. Οἷς καὶ αὐτός, οἷα πατὴρ φιλόστοργος καὶ διδάσκαλος σοφός, παραμυθίαν δεδωκὼς εἶναι σὺν αὐτοῖς νοητῶς καὶ συμπαθῶς ἔπειθες· καὶ τελευταῖον λόγον τὴν εἰρήνην λιπών, εἰς τὴν οὐράνιον λῆξιν μετέβης γηθόμενος, ἔνθα τοῦ ἀμηχάνου κάλλους τῆς τρισηλίου δόξης ἀπολαύεις ἐμφορούμενος. Ἀλλὰ πάρεσο μέσον καὶ ἡμῶν ἀοράτως, Ἱεράρχα Χριστοῦ, ἐκλυτρούμενος ἡμᾶς τῶν δεινῶν τοῦ βελίαρ, καὶ ὁδηγῶν καὶ φωτίζων, πρὸς σωτηρίαν τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. **Ναὸς καὶ πύλη ὑπάρχεις.**

Ἀπολυτίκιον. Ἦχος α΄.

Τὸν ποιμενάρχην Μηθύμνης Ἰγνάτιον ἄσμασι, τὸν μετὰ πάντων Ἁγίων δοξασθέντα ἐν θαύμασιν, ὑμνήσωμεν ἀπαύστως οἱ πιστοί, συμφώνως ἐν τῇ τούτου ἑορτῇ καὶ ὡς πλεῖστα κατιδόντες ὑπ' αὐτοῦ, θεραπευθέντα πάθη ἐκβοήσωμεν. Δόξα τῷ σὲ δοξάσαντι. Δόξα τῷ σὲ στεφανώσαντι· Δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Καὶ νῦν. Θεοτοκίον. **Τοῦ Γαβριὴλ ῥθεγξαμένου σοι.**

Εἶτα ἡ συνήθης εὐλόγησις τῶν ἄρτων. Καὶ ἀπόλυσις.

Εἰς δὲ τὸν ὄρθρον. Μετὰ τὸν ἑξάψαλμον τό, **Θεὸς Κύριος.** Καὶ τὸ τροπάριον. **Τὸν ποιμενάρχην Μηθύμνης Ἰγνάτιον. Δόξα** τὸ αὐτό, **Καὶ νῦν.** Θεοτοκίον. Εἶτα μετὰ τὴν πρώτην στιχολογίαν τοῦ ψαλτηρίου,

Τὸ Κάθισμα· ἦχος α'. **Τὸν τάφον σου Σωτήρ.**

Τὴν ἄκραν προσευχήν, ἣν ἐτέλεις νηστεύων, καὶ πᾶσαν τὴν λοιπήν, τοῦ τοῦ σώματος τῆξιν, οἱ Ἄγγελοι, Ἰγνάτιε, οὐρανόθεν ἐθαύμασαν, καὶ οἱ δαίμονες, οἱ πυλωροὶ οἱ τοῦ ᾅδου, φόβῳ ἔφριξαν· βροτοὶ δὲ πάντες ἐώρων, ἐν γῇ σε ὡς ἄϋλον.

Δόξα. Ὅμοιον.

Τὸν πόθον τὸν θερμόν, ἱκετῶν σου, τρισμάκαρ, Ἰγνάτιε κλεινέ, ἐκπλήρωσον μὴ ἐλλείπῃς. Εἰς σὲ γὰρ προστρέχομεν, πεποιθότες οἱ δοῦλοί σου, καὶ αἰτούμεθα, λύσιν δεινῶν εὑρεῖν πάντων· καὶ δὴ πρόφθασον, ἀντιλαβοῦ, ἡμᾶς ῥῦσαι, ὑψόθεν ἰσχύϊ σου.

Καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Κυβέρνησον, ἁγνή, τὴν ἀθλίαν ψυχήν μου, καὶ οἰκτειρον αὐτήν, ὑπὸ πλῆθος πταισμάτων, βυθῷ ὀλισθαίνουσαν ἀπωλείας πανάμωμε· καὶ ἐν ὥρᾳ με, τῇ φοβερᾷ τοῦ θανάτου, σὺ ἁρπασον, κατηγορούντων δαιμόνων, καὶ πάσης κολάσεως.

Εἰς τὴν β'. στιχολογίαν. **Τὴν ὡραιότητα.**

Κόσμον κατέλιπες, πάτερ Ἰγνάτιε, ἔρημον ὤκησας, χαίρων καὶ ἔφθασας πρὸς ὃν ἐπόθησας Χριστὸν σαρκὸς τῇ σκληραγωγίᾳ. Ὅθεν καὶ ὁ Κύριος, ἐπὶ γῆς σὲ ἐδόξασε, ποιμένα καὶ διδάσκαλον· ἐκκλησίας προέστησεν· ἀλλὰ καὶ μετὰ θάνατον πᾶσιν, ἅγιον θαυματουργὸν σὲ ἔδειξεν.

Δόξα ὅμοιον.

Ὕμνον ἐπάξιον, πρόσδεξαι, ἅγιε, τὸν ἐκ χειλέων μου, τοῦτον καὶ πάρασχε χάριν τὴν σήν μοι δαψιλῶς ἐκκλίνειν τὰς ἁμαρτίας, πρὸς ἃς ὁ παμπόνηρος, ἐπιχαίρων ἑλκύει με, καὶ παίγνιον ἅπασι, προτιθείς με τὸν δείλαιον, ἐπαπειλεῖ μοι ὁ βροτοκτόνος, τῆς σωτηρίας μου τὴν ἀπόγνωσιν.

Καὶ νῦν Θεοτοκίον. Ὅμοιον.

Θεομακάριστε, μῆτερ ἀνύμφευτε, τὴν ἀσθενοῦσάν μου, ψυχὴν θεράπευσον, ὅτι συνέχομαι δεινῶς, τοῖς πταίσμασιν ὁ ἄθλιος. Ὅθεν καὶ κραυγάζω σοι, στεναγμῷ τῆς καρδίας μου, δέξαι με, πανάμωμε, τὸν πολλὰ πλημμελήσαντα· ἵνα ἐν παρρησίᾳ βοῶ σοι, χαῖρε ἡ Κεχαριτωμένη.

Μετὰ τὸν Πολυέλεον. **Τὸ προσταχθὲν μυστικῶς.**

Ἀνευφημήσωμεν πιστοὶ μεγαλοφώνως, τὸν περιβόητον Χριστοῦ ἀρχιερέα, τὸν ἀειλαμπέστατον φωστῆρα τῆς Οἰκουμένης, τὸν ὄντως ἐν τοῖς Ἁγίοις θαυματουργόν, τῆς Λέσβου ἁπάσης ὄντα μέγαν φρουρόν, τὸν Μηθύμνης γενόμενον, προστάτην τε καὶ ὁδηγόν, εἰς τρίβους σωτηρίους Χριστοῦ· ὃν δοξάζομεν ἅπαντες.

Δόξα τὸ αὐτό. **Καὶ νῦν** Θεοτοκίον.

Θεοχαρίτωτε ἁγνὴ εὐλογημένη, τὸν διὰ σπλάγχνα οἰκτιρμῶν ἐκ σοῦ τεχθέντα, σὺν ταῖς ἄνω Δυνάμεσι καὶ τοῖς Ἀρχαγγέλοις, καὶ πᾶσι τοῖς Ἀσωμάτοις ὑπὲρ ἡμῶν, δυσώπει ἀκαταπαύστως δοῦναι ἡμῖν, πρὸ τοῦ τέλους διόρθωσιν, καὶ ἱλασμὸν ἁμαρτιῶν, καὶ βίου ἐπανόρθωσιν, ὅπως εὕρωμεν ἔλεος.

Εἶτα οἱ Ἀναβαθμοί. Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου. Τὸ **Ἅσα πνοή.** Τὸ Εὐαγγέλιον. Ὁ Ν΄. **Δόξα Πατρὶ, Ταῖς τοῦ Ἱεράρχου. Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου.**

Στίχ. **Ἐλέησόν με ὁ Θεός.**

Ἦχος πλ. β΄.

Ἱεράρχα τοῦ Χριστοῦ, Ἰγνάτιε, ὁ συγκαλέσας ἡμᾶς εἰς εὐωχίαν πνευματικὴν τῶν θαυμάτων σου, φώτισον τὰς καρδίας ἡμῶν τῇ χάριτί σου. Ἵνα δι' αὐτῆς ὁδηγούμενοι, τὰς ἐντολὰς τοῦ Κυρίου ποιῶμεν, καὶ τῆς οὐρανῶν βασιλείας διὰ πρεσβειῶν σου, οἱ ἐν ᾄσμασι τιμῶντές σε τύχωμεν.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Τὸ **Κύριε ἐλέησον** ιβ'. **Ἐλέει καὶ οἰκτιρμοῖς.**

Εἶτα ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς στ', καὶ τοῦ Ἁγίου εἰς η'. (Ὁ Κανὼν τοῦ Ἁγίου ἀποτελεῖ ἀκροστιχίδα τοῦ ποιητοῦ τήνδε, «**Ἀθανάσιον, Ἰγνάτιέ μου φρούρει**». Τὰ δὲ Θεοτοκία τοῦ Κανόνος τούτου συμπληροῦσιν αὐτὴν διὰ τῆς λέξεως «**Ροδοστοῦ**».

ΚΑΝΩΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Ὠδὴ α'. Ἦχος πλ. δ'.

Ἁρματηλάτην Φαραὼ ἐβύθισε τερατουργοῦσά ποτε, Μωσαϊκὴ ῥάβδος, σταυροτύπως πλήξασα καὶ διελοῦσα θάλασσαν, Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην διέσωσεν, ᾄσμα τῷ Θεῷ ἀναμέλποντα.

Διὰ παντὸς τοῖς λυπηροῖς κρατούμενος, ὁ δυστυχέστατος καὶ τλημαθὴς ὄντως, καὶ ἀχρεῖος δοῦλός σου, εἰς σὲ προστρέχω σῶσόν με παναγία παρθένε, καὶ τῶν δεινῶν ἐλευθέρωσον, ἵνα σὲ ὑμνῶ τὴν πανύμνητον.

Ἐπισκοπῇ σου ταχυνῇ ἐπίσκεψαι, νῦν με τὸν δείλαιον τῷ χαλεπῷ ζόφῳ, τῶν ἀμέτρων θλίψεων, δι' ὅλου συνεχόμενον καὶ ἀνάστησον μόνη, κατερραγμένων βοήθεια, κλίνη συμφορῶν κατακείμενον.

Χαρᾶς μου σὺ τὴν θρηνῳδοῦσαν πλήρωσον, καρδίαν Δέσποινα ἡ τὴν χαρὰν πᾶσι τοῖς πιστοῖς πηγάσασα· τῷ παραδόξῳ τόκῳ σου, ἐκδυσωποῦσα πᾶσαν, πικρίαν τῶν περιστάσεων τῶν χειμαζουσῶν με τὸν ἄθλιον.

Ὅλον ἐν σοὶ ἀναζωοῖ τὸν ἄνθρωπον, νεκρὸν γενόμενον, ὁ τῆς ζωῆς ὄντως χορηγός, πανάχραντε, ὅλον μὲ ἐνδυσάμενος, διὰ σπλάγχνα ἐλέους βροτὸς ἀτρέπτως γενόμενος, μείνας ὅπερ ἦν πρὸ σαρκώσεως.

Κανὼν τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχίς.

Ὠδὴ α'. ἦχος δ'. **Ἀνοίξω τὸ στόμα μου.**

Ἀπείρω σου ἔρωτι, ἐπειγομένῳ, Ἰγνάτιε, τὰ σὰ ἀγωνίσματα ἐγκωμιάσαι νυνί. Σήν μοι ἄνωθεν κατάπεμψον πλουσίως, βοήθειαν Ἅγιε, τοῦ ἀνυμνεῖν σε ἀεί.

Θεῷ ἀνατέθεικας, ὅλον σαυτὸν παναοίδιμε, ἐκ βρέφους καὶ ἅπασαν κόσμου τερπνότητα καταλέλοιπας καὶ τρίβους τοῦ Κυρίου, σταυρὸν ἀνελόμενος, χαίρων διήνυσας.

Ἀπαύστως δοξάζομεν, τὸν σὲ δοξάσαντα Κύριον, τῆς Λέσβου τὸ βλάστημα, ὅτε σὲ ἅπαντες παραμύθιον, κεκτήμεθα καὶ μόνον δεινοῖς οἱ τρυχόμενοι καὶ πειρασμοῖς φοβεροῖς.

Ρυσθείημεν, πάναγνε, τῇ προστασίᾳ σου Δέσποινα, παντοίας κακώσεως τοῦ βροτοκτόνου ἐχθροῦ, ὅπως χαίροντες τὰ σὰ ἀνευφημοῦμεν, παράδοξα θαύματα μόνη θεόνυμφε.

Ὠδὴ γ'.

Οὐρανίας ἀψῖδος ὀροφουργὲ Κύριε καὶ τῆς Ἐκκλησίας δομήτορ, σὺ μὲ στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Ὑπὸ σκέπην τὴν θείαν καὶ κραταιὰν Δέσποινα, σοῦ, θεοκυήτορ, προστρέχω, νῦν ὁ πανάθλιος πάσης μὲ λύτρωσαι, θλίψεως νόσου καὶ βλάβης, πάσης περιστάσεως, πάσης ὀργῆς καὶ ποινῆς.

Τῶν παθῶν μου τὸν σάλον, καὶ χαλεπὸν κλύδωνα, καὶ τρικυμιῶν τὰς ἐφόδους κόπασον Δέσποινα· σὺ γάρ μου καύχημα, σὺ καὶ προστάτης ὑπάρχεις· σὺ καὶ καταφύγιον, σὺ καὶ ζωῆς θησαυρός.

Ὅλος ὢν ἐν τῷ σκότει, τῶν δυσχερῶν, πάναγνε, ὅλως ἐν τῷ βάθει ὑπάρχω τῶν παραπτώσεων, ὅλος κρατούμενος, ὑπ' ἀμετρήτων κινδύνων ὅλην ἐξαιτοῦμαί σου τὴν χάριν, Δέσποινα.

Ναυαγοῦντά με σῶσον τῷ χαλεπῷ κλύδωνι, τῶν ἀλλεπαλλήλων κινδύνων, θεοχαρίτωτε, καὶ πρὸς ἀκύμαντον, καὶ γαληνότατον ὅρμον, τῇ θερμῇ πρεσβείᾳ σου, νῦν μὲ ὁδήγησον.

Ἀπὸ πλήθους πταισμάτων ὁ δυστυχὴς δοῦλός σου πλήθει περιπίπτω ἀμέτρων θλίψεων, πάναγνε, ὃν ἐλευθέρωσον καὶ πρὸς λιμένα χαρᾶς με, θᾶττον καθοδήγησον, θεομακάριστε.

Ὠδὴ γ'. **Οὐκ ἐν σοφίᾳ καὶ δυνάμει.**

Νόσους καὶ πάθη, ἐξιᾶται ποικίλα ἑκάστοτε, ἡ σεπτή σου κεφαλὴ θεοδοξασμένε Ἰγνάτιε, διὸ ἀσπαζόμενοι, ταύτην γεραίρομεν.

Ἀπαραλλάκτως, ἐφ' ἡμῖν ἄλλος ὤρθης Ἀντώνιος, ἐπ' ἐσχάτων τῶν καιρῶν ἐρημικοῖς ἀλωνίσμασιν, ὁσίων γὰρ ἔπλησας μονὰς ἃς ἔπηξας.

Σύμφωνον αἶνον, χρεωστικῶς σοι πάντες προσάγομεν, ἱεράρχα τοῦ Χριστοῦ, ὤνπερ ἐκ σοῦ ἀπελαύομεν, χαρίτων καὶ ἅπασι ταύτας κηρύττομεν.

Θεοτοκίον.

Οἱ τῇ θερμῇ σου, βοηθείᾳ θαρροῦντες, πανάχραντε, προσπεφεύγαμεν ἰδοὺ οἱ ἁμαρτίαις ὑπεύθυνοι. Πάσης οὖν κολάσεως ἡμᾶς ἐκλύτρωσαι.

Κάθισμα. **Τὴν σοφίαν καὶ λόγον.**

Θεωρίαν καὶ πρᾶξιν τῶν ἀρετῶν, τὰς μεγίστας εἰς ἄκρον καταλαβών, κανὼν καὶ ἀρχέτυπον, μοναστα῀ς ἐχρημάτισας. Πάντες γὰρ προσήρχοντο εἰς σὲ οἱ αἱρούμενοι, κατὰ Χριστὸν ζῆσαι πρὸς σὲ ἀποβλέποντες. Ὅθεν καὶ ἀξίως εἰς ἀνώτερον θρόνον, Θεὸς σὲ ἀνήγαγε, καὶ ποιμένα ἀνέδειξε, τῆς Μηθύμνης, Ἰγνάτιε. Ὃν αἴτησαι πρεσβεύων ἀεί, τῶν πταισμάτων δοῦναι ἡμῖν ἄφεσιν, τοῖς μετὰ πόθου τελοῦσι, τὴν πανέντιμον μνήμην σου.

Δόξα τὸ αὐτό. **Καὶ νῦν** Θεοτοκίον.

Τὴν ψυχήν μου, Παρθένε, τὴν ταπεινήν, ἀπὸ βρέφους μολύνας, ὁ μιαρός, καὶ λόγοις καὶ πράξεσιν, ἐμαυτὸν κατερρύπωσα, καὶ οὐκ ἔχω τί πράξω, ἢ ποῦ ἐπιστρέψωμαι. Οὐδὲ γὰρ ἄλλην ἐλπίδα, πλὴν σοῦ, κόρη, ἐπίσταμαι. Φεῦ μοι τῷ ἀχρείῳ καὶ κακῷ οἰκονόμῳ. Ἀλλὰ πρὸς σέ, ἄχραντε, νῦν προστρέχω καὶ δέομαι, ὁμολογῶν σοι τὸ ἥμαρτον. Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι· εἰς σὲ γάρ, Παρθένε τὰς ἐλπίδας ἀνέθηκα.

Ὠδὴ δ'.

γελίου, ποία ἡ ἠθικὴ σοφία τὴν ὁποίαν ὁ διδάσκαλος ἡμῶν Ἰησοῦς Χριστὸς διδάσκει εἰς πάντας τοὺς εὐσεβεῖς, καὶ ἐγνωρίσαμεν ὅτι, ὅστις μετὰ πίστεως εἰσέρχεται καὶ ἐξέρχεται διὰ τῆς σωτηρίου θύρας τοῦ γλυκυτάτου Ἰησοῦ, εὑρίσκει νομήν, οὐ μόνον ἐκείνην, ἥτις ζωογονεῖ τὸ σῶμα ἐν τῇ παρούσῃ ζωῇ, ἀλλὰ κἀκείνην, ἥτις πνευματικῶς τρέφει τὴν ψυχήν, λαμπρύνει καὶ ποιεῖ αὐτήν, καίτοι περιοριζομένην ὑπὸ τοῦ σώματος, νὰ φαντάζηται τὰ οὐράνια ἐκεῖνα εὐτυχήματα, καὶ διὰ τῆς ἀναπολήσεως τῶν οὐρανίων ἀγαθῶν νὰ τρέφηται, ζωογονῆται καὶ καταφρονῇ ὅλα τὰ γήϊνα πράγματα, ὡς φθαρτὰ καὶ πρόσκαιρα, καὶ ὡς μὴ προξενοῦντα οὐδεμίαν γλυκύτητα εἰς τὴν παροῦσαν καὶ οὐδεμίαν ἀνάπαυσιν εἰς τὴν μέλλουσαν ζωήν. Ἐπειδὴ δὲ τὰ νομιζόμενα ἀγαθὰ τοῦ ματαίου τούτου κόσμου γέμουσιν ἀπὸ κόπους, λύπας, συγχύσεις, στενοχωρίας, καταδρομάς, ψεύδη, ἐπιορκίας καὶ πλεῖστα ὅσα τοιαῦτα, τὰ ὁποῖα ὁ μὲν Θεὸς βδελύσσεται, τὸν δὲ ἄνθρωπον καθιστῶσιν ἀνάξιον τῆς οὐρανίου βασιλείας. Διὰ τοῦτο ὁ τὰ πάντα πρὸς τὸ συμφέρον ἡμῶν πανσόφως οἰκονομῶν Θεάνθρωπος δεσπότης Χριστὸς ἀποκαλύπτει ἡμῖν τοὺς βίους τῶν μαρτύρων, ὁσίων, ἁγίων καὶ πάντων τῶν δικαίων ἐκείνων, οἵτινες διὰ τῆς σωτηριώδους θύρας, τουτέστι τῆς τηρήσεως τῶν θείων αὐτοῦ ἐντολῶν, ἐλάμπρυναν τὴν ψυχήν, ἡγίασαν τὰ ἑαυτῶν σώματα, καὶ τελευτήσαντες ἐγένοντο κοινωνοὶ τῆς θείας αὐτοῦ μακαριότητος, διὰ νὰ δείξῃ εἰς ἡμᾶς ὅτι ἡ τῶν ἐντολῶν αὐτοῦ τήρησις τόσην ἐνέχει δύναμιν εἰς τὸ νὰ συμφιλιοῖ τὸν Θεὸν μετὰ τοῦ ἀνθρώπου, καὶ ἀξιοῖ αὐτὸν τῆς οὐρανίου βασιλείας αὐτοῦ, ὡς πυθόκνησε διὰ τοῦ μακαριωτάτου Σιλβέστρου νὰ ἀποκαλυφθῇ καὶ τὸ ἁγιώτατον τοῦτο σῶμα τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰγνατίου ἀρχιεπισκόπου Μηθύμνης εὐῶδες καὶ χαριτόβρυτον διὰ τὰς θεοφιλεῖς ἀρετάς, ἃς ἐπὶ γῆς φιλοπόνως ἐξήσκησε, καὶ φανερώσῃ εἰς τοὺς πιστοὺς ὅτι κατέστησεν αὐτὸν κοινωνὸν τῆς θείας μακαριότητος καὶ ἐδωρήσατο αὐτῷ τὴν ἁγιότητα, ἵνα καὶ μετὰ θάνατον ἰατρεύῃ πᾶσαν νόσον καὶ μαλακίαν τῶν εἰς αὐτὸν προστρεχόντων καὶ μετ' εὐλαβείας καὶ πίστεως τὸ ἅγιον αὐτοῦ ἐπικαλούμενον ὄνομα. Διότι ὁ πανάγαθος ἡμῶν Θεὸς τοιαύτας καὶ τηλικαύτας ἀποδίδει τὰς ἀνταμοιβὰς εἰς τοὺς ὁλοψύχως ἀγαπήσαντας αὐ-

τὸν καὶ ἀπαρασαλεύτως φυλάξαντας τὰς ἐντολὰς αὐτοῦ. Τοιουτοτρόπως ἀντιδοξάζει τοὺς δοξάσαντας αὐτὸν καὶ ποιεῖ αὐτοὺς ἀδελφοὺς ἐν τῇ ἐπουρανίῳ αὐτοῦ βασιλείᾳ καὶ υἱοὺς κατὰ χάριν, ὡς μαρτυρεῖ τὸ ἀψευδέστατον στόμα αὐτοῦ λέγοντος· «Ἐγὼ εἶπα Θεοὶ ἐστὲ καὶ υἱοὶ Ὑψίστου πάντες», καὶ ἐπαναπαύει αὐτοὺς ἐν τοῖς ἀνεκλαλήτοις αὐτοῦ ἀγαθοῖς, ἵνα αἰωνίως εὐφραίνωνται καὶ ἀγάλλωνται ἐν τῇ ἀμεταπτώτῳ καὶ ἀκαταπαύστῳ εἰρήνῃ, ἥτις ἐστὶν αὐτὸς ὁ Χριστός. Ἐν δὲ τῇ ἐπιγείῳ, ἵνα ἑορτάζωνται καὶ τιμῶνται ὑπὸ τῶν ὀρθοδόξων χριστιανῶν καὶ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ὅς ἐστιν ἡ Ἐκκλησία, καὶ ἔξω ἐν τοῖς οἴκοις τῶν ἀνθρώπων ἀπὸ κοινοῦ καὶ κατὰ μόνας. Θέλει καὶ εὐχαριστεῖται νὰ δοξολογῶνται οἱ ἅγιοι αὐτοῦ καὶ ἀποκαλύπτωνται αἱ πολιτεῖαι αὐτῶν, ἵνα ὅταν εὑρισκώμεθα εἰς τὴν ἐκκλησίαν, ἱερωμένοι καὶ κοσμικοί, ἄνδρες καὶ γυναῖκες, ἄρχοντες καὶ ἀρχόμενοι, πλούσιοι καὶ πένητες, ἑκάστης τάξεως καὶ ἡλικίας ἄνθρωποι, νὰ ἱστάμεθα ἐν αὐτῇ ἐν προσοχῇ, εὐλαβείᾳ καὶ κατανύξει, χωρὶς νὰ ὁμιλῶμεν, ἀλλὰ νὰ ἔχωμεν πρῶτον τὴν ἀγάπην καὶ τὸν φόβον τοῦ Θεοῦ ἐν τῇ καρδίᾳ ἡμῶν, καὶ νὰ σκεπτώμεθα ὅτι ἐν ὅσῳ ἐν τῷ ναῷ εἰμεθα, ὁ πολυεύσπλαγχνος ἡμῶν Κύριος Ἰησοῦς Χριστός, ἀνεῳγμένας ἔχων τὰς ἀγκάλας αὐτοῦ, προσκαλεῖ τοὺς πιστοὺς εἰς τὴν οὐράνιον αὐτοῦ βασιλείαν, ὡς μαρτυρεῖ ὁ ἴδιος λέγων· «Οὐ θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι αὐτόν». Καὶ δεύτερον νὰ ἀκροαζώμεθα μετὰ προσοχῆς καὶ ἐκεῖνα τὰ ὁποῖα μᾶς διδάσκει ἡ ἁγία τοῦ Χριστοῦ ἐκκλησία, καὶ τῶν ἁγίων τοὺς βίους, καὶ νὰ γινώμεθα μιμηταὶ αὐτῶν, καὶ ἐντυποῦντες ἐν τῷ νῷ ἡμῶν, καὶ ἐνθυμούμενοι ἐκείνους, δοξάζωμεν τὸν Θεὸν τὸν τοσαῦτα χαρίζοντα χαρίσματα τοῖς φυλάξασι καὶ φυλάσσουσι τὰς θείας αὐτοῦ ἐντολάς. Ὁ δὲ Θεὸς δὲν ἀγαπᾷ ἡμᾶς ὡς ἡμεῖς αὐτὸν ἀγαπῶμεν· ἀλλ' ὅσον ἀπέχει ὁ οὐρανὸς τῆς γῆς, τοσοῦτον διαφέρει καὶ ἡ πρὸς ἡμᾶς ἀγάπη αὐτοῦ τῆς ἀγάπης, ἣν ἡμεῖς δυνάμεθα νὰ δείξωμεν ὅτι ἔχομεν πρὸς αὐτόν, ὡς λέγει καὶ ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος. «Οὐχ οὕτως ἡμᾶς ὁ Θεὸς φιλεῖ, ὥσπερ ἡμεῖς αὐτόν, ἀλλὰ πολλῷ μᾶλλον, ὅσον οὐδὲ λόγῳ ἔνι παραστῆσαι»· καὶ κατὰ τὸ Εὐαγγέλιον «τοσοῦτον ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ δέδωκεν ἡμῖν εἰς θάνατον». Διὰ τὴν ὑπερβολικὴν λοι-

πὸν ἀγάπην, τὴν ὁποίαν ὁ Θεὸς ἔχει πρὸς ἡμᾶς, καὶ διὰ τὸ ὅτι οὐδέποτε θέλει, τὸν ἄνευ μετανοίας θάνατον τοῦ ἁμαρτωλοῦ, ἀπαραιτήτως ὀφείλομεν ἵνα ἀγαπῶμεν καὶ ἡμεῖς τὸν τοιοῦτον εὔσπλαγχνον πατέρα καὶ Θεὸν ἡμῶν ἐξ ὅλης ψυχῆς καὶ μετὰ πάσης ἐπιμελείας διὰ νὰ ἀπολαύσωμεν τὴν σωτηρίαν ἡμῶν, μιμούμενοι τοὺς ἁγίους, τοὺς ὁσίους, τοὺς δικαίους καὶ πάντας τοὺς κατ' ἀρέσκειαν πολιτευθέντας καὶ εὐαρεστήσαντας αὐτῷ. Καθόσον καὶ οὗτοι πάντες, ἂν καὶ ἦσαν ἄνθρωποι, σάρκα περιβεβλημένοι, καὶ συνεζευγμένοι τῇ τοῦ κόσμου ματαιότητι ὁμοίως ἡμῖν, μὲ γυναῖκας, μὲ τέκνα, δὲν ἐκωλύθησαν ὅμως οὔτε ἐκ τῶν παθῶν τῆς σαρκός, οὔτε ἀπὸ τὴν ματαιότητα τοῦ κόσμου, οὔτε ἀπὸ τῶν πειρασμῶν τοῦ ἀποστάτου ἀγγέλου, εἰς τὴν πορείαν τῆς ἐναρέτου πολιτείας καὶ τὴν ἐπίτευξιν αὐτῆς, ἀλλὰ διῆλθον διὰ τῆς θύρας τοῦ Εὐαγγελίου καὶ ἠγάπησαν τὴν δόξαν τοῦ Θεοῦ, παρὰ τὴν δόξαν τῶν ἀνθρώπων, ἠγάπησαν τὰς θείας αὐτοῦ ἐντολάς, μᾶλλον δ' αὐτὸν τὸν Θεόν. Διότι ὁ ἀγαπῶν τὸν Θεὸν πολιτεύεται σύμφωνα μὲ τὸν νόμον αὐτοῦ, ὡς αὐτὸς μαρτυρεῖ λέγων, «Ὁ ἀγαπῶν ἐμέ, οὗτος τὰς ἐντολάς μου τηρήσει». Διὸ καὶ πάντες ὀφείλομεν ἵνα ποιῶμεν ἔργον τὴν τήρησιν τῶν ἐντολῶν τοῦ Χριστοῦ, πρᾶγμα τὸ ὁποῖον εἶναι δυνατὸν καὶ ὄχι ἀδύνατον. Διότι πρῶτον μέν, ἐὰν ὁ Κύριος ἡμῶν, ὅστις γνωρίζει τὰς δυνάμεις ἡμῶν, ἐγνώριζεν ὅτι αἱ ἐντολαὶ αὐτοῦ ἦσαν ὑπὲρ τὴν δύναμιν ἡμῶν, δὲν θὰ ἐνετέλλετο ἵνα οἱ ἄνθρωποι φυλάττωσιν αὐτάς. Καὶ καθὼς ὁ ἄνθρωπος δὲν ἐπιθέτει φορτίον δυσβάστακτον ἐπὶ τοῦ ὑποζυγίου του, οὕτω πως καὶ ὁ Θεὸς δὲν θὰ ἐπέθετεν εἰς τοὺς υἱοὺς καὶ δούλους αὐτοῦ ἡμᾶς ἀδυνάτους καὶ δυσβαστάκτους ἐντολὰς καὶ προστάγματα. Ὅπερ εἶνε μεγίστη ἀσέβεια, κἂν τις τὸ σκεφθῇ μόνον, καθὼς λέγει ὁ μέγας Βασίλειος. «Ἀσεβές ἐστι τὸ λέγειν ἀδύνατα εἶναι τὰ τοῦ πνεύματος παραγγέλματα». Καὶ δεύτερον, ἐὰν τῶν ἐντολῶν καὶ προσταγμάτων ἡ τήρησις ἦτο ἀδύνατος καὶ δύσκολος, τότε τίνι τρόπῳ τόσαι μέχρι τοῦ νῦν χιλιάδες καὶ μυριάδες ἀνθρώπων ἠδυνήθησαν οὐ μόνον νὰ ἐργασθῶσι καὶ φέρωσιν εἰς πέρας, ἀλλὰ καὶ νὰ ὑπερβῶσι μάλιστα τὴν τήρησιν αὐτῶν καθὼς λέγει ὁ χρυσορρήμων. «Μὴ τοίνυν κατηγόρει τοῦ Δεσπότου· οὐκ ἐπέταξεν ἀδύνατα, πολλοὶ τὰ προστάγματα ὑ-

περβαίνουσιν· οὐκ ἂν δέ, εἰ ἀδύνατα ἦν, ὑπερέβησαν ἐξ οἰκείας προαιρέσεως. Παρθενίαν οὐκ ἐπέταξε καὶ κατορθοῦσι πολλοί». Εἰσὶ πρὸς τούτοις καὶ εὔκολαι καὶ ἐλαφραὶ καὶ πλατεῖαι πᾶσαι τοῦ Κυρίου αἱ ἐντολαί· καὶ τοῦτο βεβαιοῖ αὐτὸς ὁ προστάξας αὐτὰς λέγων «Ὁ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι». Συνομολογεῖ δὲ τοῦτο καὶ ὁ ἐπιστήθιος αὐτοῦ μαθητὴς λέγων· «καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσιν. Ὅπερ θέλων νὰ φανερώσῃ καὶ ὁ προφητάναξ ἔλεγε. «Πλατεῖα ἡ ἐντολή σου σφόδρα». Ἤδη λοιπὸν ἂς ἀκούσωσιν οἱ ἀμελεῖς ἐκεῖνοι χριστιανοί, οἵτινες προφασιζόμενοι λέγουσιν ὅτι εἰσὶν ἄνθρωποι κοσμικοί, ὅτι ἔχουσι γυναῖκα, τέκνα, οἰκίας, κτήματα καὶ πράγματα, καὶ διὰ τοῦτο δὲν δύνανται νὰ ποιῶσι τὰς ἐντολὰς τοῦ Χριστοῦ, διότι εἶναι βαρεῖαι, δύσκολον δὲ καὶ ἀδύνατον ἵνα φυλάξωσιν αὐτάς. Ἂς εἴπωσιν οἱ τοιοῦτοι, ποίαν ἔχει δυσκολίαν ἡ ἐντολὴ τοῦ Κυρίου, τὸ νὰ ἔχῃ τις γυναῖκα νόμιμον καὶ νὰ ᾖ σώφρων, καὶ ἑτέρα νὰ μὴ συνέρχηται, ἐνῷ ἄλλοι, οὐ μόνον χριστιανοί, ἀλλὰ καὶ ἐθνικοί, καὶ γυναῖκα μὴ ἔχοντες σωφρονοῦσι; Ποίαν δὲ δυσκολίαν παρέχει ἡ ἐντολή, τὸ νὰ δίδῃ τις ἐλεημοσύνην ἐκ τῶν ὑπαρχόντων καὶ τοῦ περισσεύματος αὐτοῦ, ἐνῷ πολλοὶ ἐκ τῶν ἐθνικῶν ὁλόκληρα τὰ ὑπάρχοντα αὐτῶν διὰ κενοδοξίαν διεσκόρπισαν; Ἐκεῖνο δὲ ὅπερ οἱ ἐθνικοὶ ἔπραξαν διὰ μόνην κενοδοξίαν δὲν θὰ ἦτο αἶσχος εἰς τὸν χριστιανόν, ἐὰν δὲν πράξῃ αὐτὸ διὰ τὸν φόβον καὶ τὴν ἐντολὴν τοῦ Θεοῦ; Δύσκολον εἶνε τὸ νὰ μὴ ἔχῃ τις ἐχθρούς; Τὸ νὰ μὴ μισῇ καὶ ὑβρίζῃ τινά; Νὰ μὴ ἁρπάζῃ καὶ οἰκειοποιῆται τὰ ξένα καὶ ἀλλότρια πράγματα; Νὰ μὴ ψευδορκῇ καὶ ἐπιορκῇ καὶ τὰ παραπλήσια τούτοις; Καὶ διὰ νὰ κατορθώσῃ τὴν ἀποφυγὴν αὐτῶν, διὰ τῆς τῶν ἐντολῶν τηρήσεως, γίνεται ἀνάγκη νὰ ἀναβῇ ὑψηλὰ καὶ δύσβατα ὄρη καὶ νὰ καταβῇ κρημνούς; ἢ νὰ πλεύσῃ τρικυμιώδη πελάγη καὶ ἀπεράντους ὠκεανούς; Ἢ νὰ ἀναλάβῃ πτέρυγας καὶ ἀρθῇ εἰς τὸν ἀέρα καὶ τὸν οὐρανόν; Καὶ ἐν ἑνὶ λόγῳ νὰ ὑποφέρῃ μεγάλους κόπους καὶ ἀπομάξῃ ἱδρῶτας πολλούς; Βεβαίως οὐχί. Ἂς ἐμβλέψωμεν εἰς τῶν ἁγίων τοὺς βίους, καὶ μάλιστα εἰς τὸν βίον τοῦ σήμερον πανηγυριζομένου ἁγίου Ἰγνατίου, ὅστις καὶ αὐτὸς εἶχε γυναῖκα καὶ τέκνα καὶ ὑποστατικά· καὶ ἐν τούτοις οὐδὲν ἠμπόδισεν αὐτὸν εἰς τὴν ἐκπλή-

ρωσιν τῆς ἐπιτεύξεως τῶν ἐντολῶν τοῦ Χριστοῦ. Ἀρκεῖ νὰ ἔχῃ τις ἀγαθὴν προαίρεσιν καὶ διάθεσιν καλὴν τῆς ψυχῆς καὶ εὐκόλως ἤθελε κατορθώσῃ ταῦτα πάντα, καθὼς λέγει ὁ χρυσορρήμων Ἰωάννης· «Τί γάρ, εἰπέ μοι, φορτικὸν ἐπιτετάγμεθα; Ἔχε, φησί, γυναῖκα καὶ σωφρόνει· τοῦτό γε φορτικόν; εἰπέ μοι. Καὶ πῶς ὅπου γε πολλοὶ καὶ χωρὶς γυναικὸς σωφρονοῦσιν, οὐ χριστιανοὶ μόνον, ἀλλὰ καὶ Ἕλληνες; ὃ ὑπερβαίνει τοίνυν ὁ Ἕλλην διὰ κενοδοξίαν μόνην» (Λόγ. ιγ' εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολήν). Καὶ πάλιν «Τί γὰρ φορτικὸν ἐπετάγημεν; ὄρη διατέμνειν; ἢ πτῆναι πρὸς ἀέρα; ἢ περαιώσασθαι τὸ Τυρρηνικὸν πέλαγος; Οὐδαμῶς. Ἀλλ' οὕτως εὔκολον πολιτείαν, ὡς μηδὲ ὀργάνων δεῖσθαι, ἀλλὰ ψυχῆς καὶ διαθέσεως μόνης. Τί γὰρ δύσκολον τῶν τοῦ Χριστοῦ ἐπιταγμάτων; μηδένα ἔχε ἐχθρόν, μηδένα μίσει, μηδένα λέγε κακῶς» (Ὁμιλ. εἰς τὸ κατὰ Ματθαῖον). Καὶ διὰ νὰ μάθωμεν, χριστιανοί, ἀκόμη ἀκριβέστερον ὅτι αἱ ἐντολαὶ εἶνε εὔκολοι, ἂς λάβωμεν ὑπ' ὄψιν τὸ τῆς Γραφῆς «Μὴ κλέψῃς». Ποῖον δὲ εἶνε εὐκολώτερον, τὸ νὰ κλέψῃ ἢ νὰ μὴ κλέψῃ τις; Βεβαίως τὸ νὰ μὴ κλέψῃ. Διότι ἐκεῖνος ὅστις δὲν κλέπτει εἶνε ἥσυχος, ἀτάραχος τὴν συνείδησίν του, κοιμᾶται ἀμέριμνος, δὲν ἔχει φόβον τινά, δὲν ἐμβαίνει εἰς κόπους καὶ κινδύνους, βλέπει ὅλους μὲ καθαρὰν συνείδησιν καὶ χωρὶς ἐντροπήν. Ἐκεῖνος δὲ ὅστις θέλει νὰ κλέψῃ, ἔχει ταραχὴν ἐν ἑαυτῷ, ἐμβαίνει εἰς κόπους, περιεργάζεται τρόπους, ἐφευρίσκει μηχανὰς διὰ νὰ ἐκπολιορκήσῃ τὴν οἰκίαν, ἢ τὸ ἐργαστήριον τοῦ ὁμοίου αὐτοῦ, φοβεῖται μήπως συλλάβωσιν αὐτὸν καὶ φονεύσωσιν, οὐδέποτε κοιμᾶται ὕπνον γλυκύν, οὐδέποτε τρώγει μὲ ἡδονὴν φαγητόν, καὶ ἐν τῇ συνειδήσει αὐτοῦ ἔχει ἀκατάπαυστον ἔλεγχον, ὅστις καταβιβρώσκει αὐτὸν πάντοτε, ὡς τὸ ξύλον ὁ σκώληξ. Λέγει πάλιν ὁ Κύριος ἡμῶν «Εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς». Ποῖον δὲ εἶνε εὐκολώτερον τὸ νὰ καταρᾶται καὶ κατηγορεῖ τις, ἢ τὸ νὰ μὴ κατηγορῇ; Βεβαίως τὸ δεύτερον. Διότι ὁ μὴ κατηγορῶν μένει ἐλεύθερος ἀπὸ κάθε πειρασμόν, καὶ ὄχι μόνον δὲν δοκιμάζει κανὲν κακόν, ἀλλὰ καὶ ἔπαινον ἀπολαμβάνει παρὰ πάντων. Ὁ δὲ κατηγορῶν καὶ εἰς κίνδυνον ἐμβαίνει καὶ εἰς ὑποψίας ὅτι πιθανὸν νὰ μάθῃ αὐτὸς

ὁ κατηγορηθείς, εἴτε μικρὸς εἴτε μέγας εἶνε. Καὶ ἐὰν μὲν ἦνε μέγας, εὐθὺς καὶ παιδεύεται ὁ κατηγορήσας, ἐὰν δὲ μικρός, παρευθεὺς κἀκεῖνος κατηγορεῖ καὶ ὑβρίζει τὸν κατηγορήσαντα μὲ τὰς αὐτὰς καὶ περισσοτέρας ὕβρεις. Διὰ τοῦτο, καλῶς εἶπεν ὁ Ἅγιος «Μὴ ἅρπαζε, φησίν, ὁ Χριστὸς τὰ μὴ σά· μὴ πλεονέκτει· μὴ ἐπιόρκει· ποῖον ἔχει τοῦτον πόνον; Τοὐναντίον μὲν οὖν ἦν πόνος, ὅταν μὲν γὰρ εἴπῃς κακῶς, εὐθέως ἐν κινδύνῳ εἶ, ἐν ὑποψίᾳ, μὴ ἤκουσε περὶ οὗ εἶπες, ἄν τε μέγας ᾖ, ἄν τε μικρός. Ἐὰν γὰρ μέγας ᾖ, ἐν ἔργοις κινδυνεύσεις εὐθέως, ἐὰν δὲ μιαρὸς τοῖς ἴσοις σε ἀμυνεῖται, μᾶλλον δὲ καὶ πολλῷ χαλεπωτέροις. (ὁμιλ. ιγ΄. εἰς τὴν πρὸς Ἑβραίους). Ἐξ ὅλων λοιπὸν τούτων συμπεραίνομεν ὅτι αἱ ἐντολαὶ τοῦ Χριστοῦ εἰσὶν εὐκολώταται, ὅταν ἡμεῖς θελήσωμεν νὰ ἀσκήσωμεν αὐτάς· ἀλλ' ἐὰν δὲν θελήσωμεν, τότε καὶ τὰ πλέον εὔκολα φαίνονται ἡμῖν δύσκολα, κατὰ τὸν Χρυσόστομον λέγοντα «Οὐδὲν δύσκολον, οὐδὲν φορτικὸν ἐπιτετάγμεθα, ἂν βουλώμεθα· ἂν δὲ μὴ βουλώμεθα, καὶ τὰ ῥᾴστα φορτικὰ ἡμῖν φανεῖται». Καὶ ὡς λέγει ὁ Παῦλος «Τὰ φύσει βαρέα, οὕτω κοῦφα γίνεται, ὅταν μὴ τοὺς πόνους λογιζώμεθα, ἀλλὰ τὰς ἀμοιβὰς αὐτῶν σκοπῶμεν, τὸ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται (Πρὸς Κορινθίους) Αἴνιγμα τὸ ὁρώμενον ἐστίν; Εἰ θλῖψις, πῶς ἐλαφρόν; Εἰ ἐλαφρὸν πάλιν πῶς θλῖψις; Ταῦτα γὰρ ἐναντία. Ἀλλ' ἔλυσε τὸ αἴνιγμα τῇ ἐπαγωγῇ δείξας ἐλαφρόν. Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα, ἔθηκε τὸν στέφανον καὶ κοῦφον ἐποίησε τὸν ἀγῶνα. Μαρτυρεῖ τοῦτο καὶ ὁ προφήτης Δαβίδ, ὅστις διὰ τὴν ἐλπίδα τῆς ἀνταμοιβῆς καὶ τῆς μισθαποδοσίας ἐφύλαττε μετὰ χαρᾶς τὰς ἐντολὰς τοῦ Κυρίου, διὸ καὶ ἔλεγεν. «Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν» (Ψαλμ. ριη΄.)

Λοιπὸν ἐὰν θέλωμεν καὶ ἡμεῖς νὰ ἀγαπηθῶμεν ὑπὸ τοῦ Χριστοῦ καὶ δοξασθῶμεν καὶ τιμηθῶμεν ὅπως οἱ δίκαιοι οἱ εὐσεβεῖς πολιτευθέντες, καὶ νὰ γίνωμεν σύνοικοι μετὰ τῶν ἁληθῶν καὶ θεοφιλῶν αὐτοῦ ἐργατῶν, ἐξ ὧν εἷς ἐστὶ καὶ ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἰγνάτιος, ἂς μὴ βλέπωμεν τοὺς προσωρινοὺς κόπους καὶ θλίψεις,

ἀλλ' ἂς στοχαζώμεθα τὴν ἀνταμοιβὴν καὶ τὸν μισθὸν τὸν ἐν τοῖς οὐρανοῖς· καθόσον ὁ μὲν ὀλίγος κόπος καὶ ἡ μικρὰ θλῖψις ἐστὶ πρόσκαιρος καὶ παρέρχεται ἡ ἀνταμοιβὴ δὲ αἰώνιος καὶ ἀδιάλειπτος. Οὕτως ὁ ναύτης καὶ ναύκληρος δὲν ἀποβλέπει εἰς τὰς τρικυμίας καὶ εἰς τὰ κύματα τῆς θαλάσσης, ἀλλὰ στοχαζόμενος τὸ κέρδος, ὅπερ μέλλει νὰ ἀπολαύσῃ, καταφρονεῖ τοὺς κινδύνους καὶ εὐφραίνεται. Τοιουτοτρόπως θεωρεῖ ὁ πραγματευτὴς ἐλαφροὺς τοὺς κόπους ἕνεκεν τῆς ἐλπίδος τοῦ πλούτου.

Οὕτως ὁ στρατιώτης δὲν νομίζει βαρείας τὰς πληγὰς καὶ τὸν θάνατον αὐτόν, διότι ἐστοχάσθη τὴν νίκην καὶ τοὺς νικητηρίους στεφάνους, οὓς ἤθελε λάβῃ. Οὕτως ὁ γεωργὸς καὶ ἐργάτης δὲν συλλογίζονται τοὺς κόπους καὶ μόχθους τῆς καλλιεργείας, διότι ἀποβλέπουσιν εἰς τὸν θερισμὸν καὶ τὴν κάρπωσιν. Καὶ ἐν γένει εἰπεῖν κατ' αὐτὸν τὸν τρόπον τὰ βαρέα γίνονται ἐλαφρά, ὅταν δὲν συλλογίζηταί τις τοὺς κόπους καὶ μόχθους, ἀλλὰ τὰς ἀμοιβὰς καὶ τοὺς μισθούς, τοὺς ὁποίους μέλλει νὰ ἀπολαύσῃ. Καὶ ἀληθέστατοι μάρτυρες τούτων εἰσὶ πάντες οἱ τὰς ἐντολὰς τοῦ Δεσπότου ἡμῶν Κυρίου Ἰησοῦ Χριστοῦ τηρήσαντες, καὶ μάλιστα ὁ σήμερον ἑορταζόμενος καὶ πανηγυριζόμενος Ἰγνάτιος. Καὶ ἡμεῖς λοιπὸν εἰς δόξαν καὶ τιμὴν καὶ δοξολογίαν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰγνατίου ἀρχιεπισκόπου Μηθύμνης ἂς κατανυχθῶμεν ἐν πίστει, καὶ μετ' εὐλαβείας καὶ καθαρᾶς καρδίας, ἂς πανηγυρίσωμεν εὐφραινόμενοι, οὐχὶ ἐν συμποσίοις καὶ μέθῃ καὶ ᾄσμασι καὶ χοροῖς, διότι διὰ τῶν τοιούτων δὲν πανηγυρίζεται, δὲν δοξολογεῖται, δὲν εὐχαριστεῖται καὶ δὲν ἐπαναπαύεται ὁ Ἅγιος, ἀλλὰ δοξάζομεν καὶ τιμῶμεν αὐτόν, ἐὰν μιμώμεθα τὴν πραότητα, τὴν ἀνεξικακίαν, τὴν ἁπλότητα, τὴν πρὸς τοὺς πτωχοὺς συμπάθειαν αὐτοῦ, τὴν ἐλεημοσύνην, τὴν ταπείνωσιν, τὴν ἀγάπην, τὴν ἀγαθὴν προαίρεσιν καὶ διάθεσιν τῆς ψυχῆς, τὸν διάπυρον ζῆλον εἰς τὴν κατόρθωσιν τῆς ἐναρέτου πολιτείας, τὴν ὑπακοὴν εἰς τὰς ἐντολὰς τοῦ Δεσπότου ἡμῶν Χριστοῦ, δηλαδὴ ἐὰν γίνωμεν καὶ ἡμεῖς πρᾷοι, ταπεινοί, συμπαθεῖς πρὸς τοὺς ἀδελφοὺς ἡμῶν, ἐλεήμονες, ἀμνησίκακοι, ἐὰν ἔχωμεν πρὸς ἀλλήλους ἀγάπην καὶ μὴ ἤμεθα φθονεροί, ἅρπαγες, ἄδικοι, ψεῦ-

σται, ἐπίορκοι, μέθυσοι, πόρνοι, μοιχοί· διότι μοιχοὶ καὶ πόρνοι καὶ οἱ τοιοῦτοι δὲν κληρονομοῦσι τὴν βασιλείαν τοῦ Θεοῦ. Καὶ τότε ὡς ἀληθῶς δοξολογοῦμεν καὶ τιμῶμεν τὸν ἅγιον, ἔχομεν αὐτὸν προστάτην εἰς τὰς ἀνάγκας ἡμῶν, βοηθὸν εἰς τὰς θλίψεις ἡμῶν καὶ μεσίτην εἰς τὸν Δεσπότην ἡμῶν Ἰησοῦν Χριστὸν διὰ τῆς χάριτος τοῦ παναγίου Πνεύματος, ἵνα φωτίζῃ καὶ ὁδηγῇ ἡμᾶς εἰς πᾶν ἔργον ἀγαθόν, ἐνισχύῃ εἰς τὴν τήρησιν τῶν ἐντολῶν αὐτοῦ, καὶ ἐνταῦθα μὲν δίδῃ ἡμῖν τὰ ἐπίγεια ἀγαθά, ἐκεῖ δὲ ἐν τῇ μελλούσῃ ζωῇ ἀναδείξῃ ἡμᾶς κληρονόμους τῆς ἐπουρανίου βασιλείας. Ἀμήν.

ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" • ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878 •


ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
• ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878 •

ΑΚΟΛΟΥΘΙΑ

τοῦ

ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΛΕΞΑΝΔΡΟΥ

ΤΟΥ ΕΝ ΤΗ ΝΗΣΩ ΛΕΣΒΩ

ἐν ἔτει ζῳλ' 1622

ὑπὸ

ΡΑΦΑΗΛ ΙΕΡΟΜΟΝΑΧΟΥ

ΜΕΤΟΧΗ ΠΛΩΜΑΡΙΟΥ ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ
ΙΔΡΥΣΗΣ 1878

Ἐπιδιορθωθεῖσα καὶ τὸ πλεῖστον συμπληρωθεῖσα

παρὰ τοῦ

πανιερωτάτου Μητροπολίτου

ΠΡΩΗΝ ΕΡΣΕΚΙΟΥ ΙΓΝΑΤΙΟΥ

τοῦ ἐκ Βατούσης τῆς Λέσβου

ἐν ἔτει 1900

ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
• ΕΤΟΣ ΙΔΡΥΣΕΩΣ 1878 •

Τῇ τριακοστῇ τοῦ Νοεμβρίου μηνὸς ψάλλεται ἡ ἀκολουθία τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἀλεξάνδρου ἀρχιεπισκόπου Μηθύμνης

Στιχηρὰ προσόμοια τοῦ ἑσπερινοῦ ἦχος πλ. δ'.

Ὦ τοῦ παραδόξου θαύματος.

Πάτερ πατέρων Ἀλέξανδρε ἱερωσύνης κανών, σωφροσύνης ὑπόδειγμα, μοναζόντων στήριγμα, ἐκκλησίας τὸ καύχημα, ἀγάπης θείας τὸ ἐνδιαίτημα, πηγὴ θαυμάτων γλῶσσα ἡδύλαλος, στόμα θεόφημον, σκεῦος τοῦ ἁγίου Πνεύματος καὶ νοητὸς γέγονας παράδεισος θεομακάριστε.

Πάτερ ἱερὲ Ἀλέξανδρε ἀπὸ σπαργάνων Θεῷ σεαυτὸν ἀνατέθεικας ἀνενδότοις νεύσεσι τῷ τὰ πάντα ποιήσαντι· διὸ ἐνθέως ἀγλαϊζόμενος, νύκτα διέβης βίου καὶ ἤστραψας, θείοις διδάγμασι καὶ θαυμάτων χάριτι ἀποσοβῶν χρόνια νοσήματα καὶ πλάνης πνεύματα.

Πάτερ θεόφρον Ἀλέξανδρε φωτοφανείᾳ τὸν νοῦν καθαρῶς αὐγαζόμενος τῶν παθῶν ἐλώφησας πολυκύμαντον θάλασσαν, καὶ ἀπαθείᾳ ὑπεριπτάμενος καθαρωτάτοις πτέρυξιν ἔφθασας, ἔνθα τὸ ἄφραστον κάλλος καὶ ἀμήχανον ὑπὲρ ἡμῶν ἐκτενῶς δεόμενος τῶν εὐφημούντων σε.

Δόξα ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ ἡ νῆσος Λέσβος ἀγειρομένη πανδήμως, Ἀλέξανδρον τὸν τοῦ Θεοῦ θεράποντα, καὶ τοῦ Εὐαγγελίου θεσπέσιον κήρυκα ὡς θησαυρὸν πολύτιμον ἐν κόλποις κατέχουσα. Διὸ ἀνύμνησον αὐτοῦ τοὺς ἀκαμάτους ἀγῶνας, οἷς κατηξίωται ἐπιτελεῖν θαυμάσια, καὶ τοῖς ἀσθενέσιν ἰαμάτων τὴν χάριν ἀφθόνως παρέχεσθαι. Δεῦτε οὖν πάντες οἱ τὴν μνήμην αὐτοῦ εὐλαβῶς τελοῦντες, ἐγκωμίοις αὐτὸν στέψωμεν, καὶ τῷ Σωτῆρι ἀνακράξωμεν, Κύριε δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον τὸ α΄. τοῦ ἤχου

Ἀναγνώσματα ζήτει τοῦ ἁγίου Ἰγνατίου

Εἰς τὸν στίχον στιχηρὰ προσόμοια ἦχος πλ. α΄.

Χαίροις ἀσκητικῶν.

Χαίροις ἱεραρχῶν καλλονή, ὀρθοδοξίας ἀδιάσειστον ἔρεισμα, ὁ στύλος τῆς Ἐκκλησίας ὁ τῶν πιστῶν στηριγμός, τὸ τῆς εὐσεβείας περιτείχισμα, ὁ νοῦς ὁ οὐράνιος, ὁ ἐπίγειος ἄγγελος, ἡ μυροθήκη τοῦ σεπτοῦ ἁγιάσματος, ἡ λυχνία τε ἡ χρυσῆ καὶ πολύφωτος, ὅρμος ὁ γαληνότατος, λιμὴν ὁ σωτήριος, τίμιον σκεῦος Κυρίου θαυματουργὸς ὁ πανθαύμαστος, Χριστὸν καταπέμψαι ταῖς ψυχαῖς ἡμῶν δυσώπει τὸ μέγα ἔλεος.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Χαίροις ἡ ἱερὰ κεφαλὴ καὶ κατὰ πάντα τοῖς ἀγγέλοις αἰδέσιμος, ἡ βρύσις τῶν ἰαμάτων ἡ γλυκυτάτη πηγὴ θείων χαρισμάτων τὸ ἐξάντλημα, φωστὴρ ὁ ἀκοίμητος, ὁ ποιμὴν ὁ πραότατος, ὁ εὐσεβείᾳ συγκρατήσας τὸ ποίμνιον, ὁδηγήσας τε καὶ ποιμάνας ἐν χάριτι, λύκους ὡς τροπωσάμενος δεινῶς αἱρετίζοντας, ὁ ἐν σκηνώμασι θείοις ἐν οὐρανοῖς αὐλιζόμενος, Χριστὸν καταπέμψαι ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Χαίροις τῶν μοναζόντων κρηπίς, τῶν ἀρετῶν τὸ ἀρραγὲς φυλακτήριον, ὁ γνώμων τῆς εὐσεβείας, ἱερωσύνης κανών, ποταμὸς ναμάτων θείῳ ἔμπλεως, ἐξ οὗ καταρδεύεται τῶν Λεσβίων ὁμήγυρις πρὸς εὐκαρπίαν ψυχικῆς σωτηρίας τε, καὶ πρὸς ἴασιν ἀλγηδόνων τοῦ σώματος, ἄνθρωπε ἐπουράνιε, ἐπίγειε ἄγγελε, στόμα τὸν νόμον Κυρίου ἐκμελετῆσαν, Ἀλέξανδρε, Θεοῦ κληρονόμε τοῦ παρέχοντος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα ἦχος β'.

Εἷς ὄρος ὑψηλὸν καθάπερ ὑψίκομον δένδρον ἐμπεφύτευσαι, Μακάριε, μυριπνόοις ἄνθεσι τῶν ἀρετῶν πνευματικὴν εὐωδίαν τοῖς πᾶσιν ἐξέχεας. Πρᾶος δὲ γενόμενος καὶ ταπεινὸς τῇ καρδίᾳ τὸν σὸν οὐράνιον ἐμιμήσω διδάσκαλον· διὸ καὶ τὸ μνημόσυνόν σου εἰς τὸν αἰῶνα μένει. Ἀλλ' ὦ πανεύφημε τοῦ Θεοῦ θεράπον, εἰ καὶ μετέστης ἐξ ἡμῶν, ἀλλ' οὐκ ἀπέστης ἀφ' ἡμῶν τῷ πνεύματι, παρρησίᾳ νῦν τῷ Θεῷ παριστάμενος, καὶ σὺν ἁγίοις δοξάζεις τὸν σὲ δοξάσαντα Κύριον, αὐτὸν ἱκέτευε, ὅπως ἵλεως γένηται ἡμῖν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Καὶ νῦν. Θεοτοκίον.

Εἰς τὸν ὄρθρον μετὰ τὴν α'. στιχολογίαν. Κάθισμα ἦχος α'.

Τὸν τάφον σου Σωτήρ.

Πολύφωτος ἀστὴρ μοναζόντων ἐδείχθης, καὶ γνώμων ἀκριβὴς ἐγκρατείας παμμάκαρ, τὴν πίστιν ἐτράνωσας τοῖς σοφοῖς σου διδάγμασιν. Ὅθεν ὅσιε ὑπὲρ τῶν σοὶ προστρεχόντων λύσιν αἴτησαι ἁμπλακημάτων θεόφρον Θεῷ παριστάμενος.

Ὁδήγησον ἡμᾶς ἐν ὁδῷ μετανοίας, ἐκκλίνοντας ἀεὶ πρὸς κακῶν ἀνοδίας, καὶ τὸν ὑπεράγαθον παροργίζοντας Κύριον, ἀπειρόγαμε εὐλογημένη Μαρία, καταφύγιον ἀπεγνωσμένων ἀνθρώπων Θεοῦ ἐνδιαίτημα.

Μετὰ τὴν β'. στιχολογίαν. Κάθισμα ἦχος α'.

Τὸν τάφον σου Σωτήρ.

Πικρὰν καταβαλὼν τῶν παθῶν τυραννίδα, καὶ τάφον ἱερὸν τοῦ σοῦ σκήνους ἐνθέως ἰατρεῖον ἀνέδειξας, καὶ πηγὴν ἁγιάσματος. Ὅθεν ἅπαντες ἐν κατανύξει καρδίας εὐφημοῦμέν σε ἀρχιερέων ἀκρότης παμμάκαρ Ἀλέξανδρε.

Καὶ νῦν. Μητέρα σε Θεοῦ ἐπιστάμεθα πάντες.

Εἶτα οἱ ἀναβαθμοὶ τοῦ δ'. ἤχου, προκείμενον

Τίμιος ἐναντίον Κυρίου.

Δόξα, Ταῖς τοῦ Ἱεράρχου. **Καὶ νῦν,** Ταῖς τῆς Θεοτόκου.

Ἰδιόμελον, ἦχος πλ. β'.

Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, εὖ ἐργάτα τοῦ ἀμπελῶνος Χριστοῦ, σὺ καὶ τὸ βάρος τῆς ἡμέρας ἐβάστασας, σὺ καὶ τὸ δοθέν σοι τάλαντον ἐπηύξησας, καὶ τοῖς μετὰ σὲ ἐλθοῦσι νῦν οὐκ ἐφθόνησας· διὸ πύλη σοι οὐρανῶν ἠνέῳκται, εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου, καὶ πρέσβευε ὑπὲρ ἡμῶν, ἅγιε Ἀλέξανδρε.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου

Ὁ κανὼν τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου

Ὠδὴ α'. ἦχος δ'. **Τριστάτας κραταιούς.**

Τῷ θρόνῳ τοῦ Θεοῦ παρεστὼς στεφηφόρος, ὡς βιώσας ἐπὶ γῆς ὁσίως, καὶ φωτὶ λαμπόμενος φώτισόν μου τὴν καρδίαν, καὶ τὸν νοῦν τοῦ ὑμνῆσαί σου τὸν ἰσάγγελον βίον Ἀλέξανδρε.

Ὡράθης εὐκλεοῦς μακαρίας τε ῥίζης, ἐκβλαστάνων ἱερῶς, ὡς κλάδος ἀληθῶς εὐκαρπίας κληρούμενος, πίστεώς τε καὶ ἐλπίδος καὶ ἀγάπης καὶ χάριτος παραδόξων θαυμάτων θεόληπτε.

Θυσίαν σεαυτὸν καθαρὰν καὶ τελείαν τῷ παθόντι δι' ἡμᾶς προσήγαγες Χριστῷ τὴν ψυχὴν ἀποκτείνοντα ὅσιε νεκρώσας τὰ πάθη διὰ πόνων ἀσκήσεως, ἐπιμόνου τε πάτερ δεήσεως.

Ἠνώρθωσας ἡμᾶς ἀπωλείας εἰς βάθος πεπτωκότας, τὸν Χριστόν, κυήσασα ἀγνή, ἐξ ἀχράντων λαγόνων σου, τοῦτον νῦν ὡς παρρησίαν κεκτημένη ἱκέτευε λυτρωθῆναι κινδύνων τοὺς δούλους.

Ὠδὴ γ'. **Οὐκ ἐν σοφίᾳ.**

Μόνα ποθήσας τοῖς βροτῶν ὀφθαλμοῖς τὰ ἀόρατα, πρὸς ἃ τρίβοις δεξιαῖς ἀνεπιστρόφους διώδευσας ἔχων ὁδηγοῦσάν σε θείαν ἀντίληψιν.

Ἁγίων βίους ἐμιμήσω θεόφρον ὡς ἅγιος, καὶ ἀπάθειαν ψυχῆς ἐκτήσω, πάτερ Ἀλέξανδρε, οἶκος θείου πνεύματος ἀναδεικνύμενος.

Τὸν τῆς Τριάδος ἀπεκύησας ἕνα πανάμωμε, ἀναπλάττοντα ἡμᾶς τοὺς συντριβέντας τὸ πρότερον κακίᾳ τοῦ ὄφεως τοῦ πολεμήτορος.

Κάθισμα. **Τὸν τάφον σου Σωτήρ.**

Πολύφωτος ἀστὴρ δαδουχία θαυμάτων, καὶ ἄθλων ἱερῶν καταυγάζων τὴν Λέσβον, Ἀλέξανδρε μακάριε, ἀληθῶς ἐχρημάτισας ὅθεν σήμερον τὴν φωτοφόρον σου μνήμην ἑορτάζομεν, ἐν εὐφροσύνῃ καρδίας Χριστὸν μεγαλύνοντες.

Μητέρα σὲ Θεοῦ προκατήγγειλαν κάρη, ἐσμὸς τῶν προφητῶν μετὰ τῶν ἀποστόλων, καὶ κόσμῳ ἐκήρυξαν, καὶ ἡμεῖς ἐπιστεύσαμεν· ὅθεν ἅπαντες εὐσεβοφρόνως τιμῶμεν ἀνυμνοῦντές σε, καὶ θεοτόκον κυρίως ἀεὶ ὀνομάζομεν.

Ὠδὴ δ'. **Ὁ καθήμενος ἐν δόξῃ.**

Οὐκ ἠλάττωται σὴ λάρναξ ὕδωρ βλύζουσα ἅγιον, καὶ τοῖς θλιβομένοις ἅμα τοῖς νοσοῦσι τῷ σώματι, ἀπαλλαγὴν καὶ ὑγείαν θείᾳ χάριτι τοῖς προστρέχουσι παρεχομένοις ἑκάστοτε.

Ὑπανοίγων τὴν καρδίαν συμπαθῶς πάτερ ἔνδοξε πενομένοις πλοῦτος καὶ περιβολὴ γυμνητεύουσι, τῶν ὀρφανῶν τε προσ-

τάτης ἐχρημάτισας, θεραπεύων ἐν τούτοις Χριστὸν τὸν Θεὸν ἡμῶν.

Νόμον θεῖον καταγγέλλων ἀνομοῦντας ἐπέστρεψας καὶ πιεῖν προθύμως πόμα μαρτυρίου ὑπέδειξας, μεθ' ὧν εἰς θείας ἐπαύλεις κατεσκήνωσας ἐντρυφῶν τοῦ ξύλου τῆς ζωῆς παναοίδιμε.

Ῥαθυμίᾳ συσχεθέντα, καὶ παθῶν ἀμαυρότητι, ὅλον σκοτισθέντα, καὶ τῇ ἁμαρτίᾳ δουλεύοντα, τὸν ἀναμάρτητον λόγον ἡ κυήσασα, φωταγώγησον καὶ πρὸς ζωὴν χειραγώγησον.

Ὠδὴ ε'. **Σὺ Κύριέ μου φῶς.**

Ὡς θεῖος γεωργὸς ἐν χερσωθείσαις ψυχαῖς ἔρριψας ὡς σπόρον τὸν θεῖον λόγον γεωργεῖν σωτηρίας παρασκευάσας νοήματα.

Δοχεῖον πεφυκώς, θείου πνεύματος ὅσιε, ὀχλοῦντα πνεύματα φυγαδεύειν, καὶ νοσούντων ἄμισθος θεράπων γενόμενος.

Ἠγγὴ θαυματουργὸς τοῖς πιστοῖς ἐγνώσθη ὁ τάφος σου, καὶ ἄμισθον ἰατρεῖον τοῖς νοσοῦσι καὶ πρὸς σὲ καταφεύγουσι.

Ἐχθρῶν ἀναγωγῆς καὶ βαρβάρων προσβολῆς ἄχραντε τοὺς κεκτημένους σε ῥῦσαι πρεσβείαν ὑπέρμαχον καὶ κραταιὰν ἀντίληψιν.

Ὠδὴ στ'. **Ἦλθον εἰς τὰ βάθη.**

Οὐκ ἔσεισε πάτερ τῆς ψυχῆς σου ὁ πονηρὸς τὸν οἶκον· ἐν τῇ πέτρᾳ γὰρ τῆς ἀληθείας ὡς ἴδρυτο ἀκλόνητος, θείῳ σθένει κρατυνόμενος.

Σοφίᾳ Θεοῦ κεκοσμημένος, καὶ ἀρετῶν εἰς ὕψος ἱερώτατε φθάσας, καθεῖλες τοῦ πονηροῦ τὰς ἐπάρσεις, χάριτι τὴν καρδίαν ταπεινούμενος.

Λειμὼν εὐανθὴς σοφὲ ὡράθης τῶν ἀρετῶν τὰ ἄνθη τῶν θαυμάτων τὴν εὐωδίαν πᾶσι πιστοῖς, ἱερὲ Ἀλέξανδρε ἱεροπρεπῶς προβαλλόμενος.

Ἁγία Παρθένε τὴν ψυχήν μου ἣν ὁ ἐχθρὸς ὀλίως, κατε-

σπίλωσε τῇ ἁμαρτίᾳ, ὡς ἀγαθὴ δυσωποῦσα ὕψωσον καὶ τῷ φωτὶ καταλάμπρυνον

Κοντάκιον. **Ἡ παρθένος σήμερον.**

Ὡ ς φωστῆρα ἄδυτον τοῦ νοητοῦ σε ἡλίου, συνελθόντες σήμερον ἀνευφημοῦμέν σε ὕμνοις, ἔλαμψας τοῖς ἐν τῷ σκότει τῆς ἀγνωσίας, ἅπαντας ἀναβιβάζων πρὸς θεῖον ὕψος, Ἀλέξανδρε θεοφόρε, χαίροις πάντων τῶν ἀσκητῶν ἡ κρηπίς.

Ὁ οἶκος.

Θείων ἐνταλμάτων ἐραστὴς γενόμενος, καὶ τὸν σταυρὸν ἐπ' ὤμων ἀράμενος τῷ Χριστῷ ἠκολούθησε πᾶσι τοῖς τοῦ κόσμου ἀποταξαμένοις. Ταῖς παννυχίσι γὰρ προσκαρτερῶν προσευχαῖς, καὶ τῇ ἐγκρατείᾳ τὴν σάρκα καθυποτάξας τῷ πνεύματι τοῖς νοεροῖς τοῦ πνεύματος πτέρυξιν οὐρανοφόρος ἐγένετο. Διὸ ἄνωθεν φωτισμῷ ἀμειβόμενος τὴν νῆσον Λέσβον ἐφώτισε. Τὴν μνήμην οὖν τῶν ἀγώνων αὐτοῦ ἐν ἐγκωμίοις γεραίροντες, χάριν δὲ καὶ ἔλεος παρὰ Θεοῦ ταῖς ἱκεσίαις αὐτοῦ ἐξαιτούμενοι εὐλαβῶς βοῶμεν αὐτῷ· χαίροις πάντων τῶν ἀσκητῶν ἡ κρηπίς.

Τῷ αὐτῷ μηνὶ Νοεμβρίου 30. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀλεξάνδρου ἀρχιεπισκόπου Μηθύμνης.

Ὠδὴ ζ'. **Ὁ διασώσας ἐν πυρί.**

Λαὸς ὁ σύμπας εὐφημεῖ τὴν σὴν πανίερον μνήμην, καὶ χαρμοσύνως ἐκβοᾷ τῶν θαυμάτων τὸ μέγεθος ψάλλοντες, ὑπερύμνητε Κύριε ὁ δοξάσας τοὺς ἁγίους σου εἰς αἰῶνας.

Ἤνθισας μάκαρ εὐπρεπῶς, ῥόδον ἐν τῇ Λέσβῳ καθάπερ, καὶ ἔλαμψας εἴαπερ ἀστήρ, καὶ ὡς ἥλιος ἔφανας ἅπασι μελῳδοῦσι καὶ ψάλλουσιν, ὁ Θεὸς ὁ τῶν πατέρων εὐλογητὸς εἶ.

Στήσας τοὺς πόδας σου σοφὲ ἐπὶ ὄρους τῆς Λέσβου γενναίως, καὶ πρὸς τὰ ὕψη ἐνορῶν ὡς Μωϋσῆς προσωμίλεις τῷ κτίστῃ σου, ἀγωνίαις καὶ δάκρυσιν ἀνεβόας ὑπερύμνητε Κύριε ὁ τῶν πατέρων εὐλογητὸς εἶ.

Παῦσον τὰ κύματα ἀγνὴ τῆς βεβυθισμένης ψυχῆς μου, καὶ καταπράϋνον αὐτῆς λογισμὸν τῶν ἀθέσμων μου πράξεων, εὐχαρίστως κραυγάζω σοι ὁ Θεὸς ὁ τῶν πατέρων εὐλογητὸς εἶ.

Ὠδὴ η'. **Αυτρωτὰ τοῦ παντός.**

Οὐδαμῶς ἡδοναῖς ἀπενύσταξας, ἐγρηγόρεις δέ, μᾶλλον δὲ παρέδραμες νύκτα τοῦ βίου ὅσιε, καὶ κοιμίσας τὰ πάθη σαρκός, πρὸς ὅρμον ἀπαθείας εὐθέως κατήντησας.

Ἰατρεῖον παθῶν ἀναδέδεικται ἡ σορὸς τῶν ἁγίων λειψάνων σου, ἣν καὶ κυκλοῦντες μέλψωμεν, ἱερώτατε πάτερ, πάντα τὰ ἔργα εὐλογεῖτε τὸν Κύριον.

Μοναζόντων ἐδείχθης ὁμόσκηνος, καὶ δικαίων συνόμιλος ὅσιε, ζήσας βίον θεάρεστον, σὺν αὐτοῖς τῇ Τριάδι μέλπων ἀπαύστως, εὐλογεῖτε τὸν Κύριον.

Ἱερεῖς καὶ λαὸς εὐλογοῦσί σε, παντευλόγητε κόρη πανάμωμε, τὴν εὐλογίαις ἅπαντας στεφανώσασαν πίστει τοὺς μελῳδοῦντας.

Ὠδὴ θ'. **Εὖα μὲν τὸ τῆς.**

Ἰδοὺ σοι τὸν ὁρόμον τὸν καλὸν τελέσαντι, καὶ τὴν πίστιν τηρήσαντι πάτερ θεόφρον ἱεράρχα, οὐράνια ἠνοίχθη σκηνώματα, καὶ τόποι φωταυγεῖς σε ἐδέξαντο ἁγιωσύνῃ διαλάμποντα.

Ὡς μύστης ὡς θεῖος ἱερεύς, ὡς ἄριστος ποιμενάρχης, καὶ ὡς φωστὴρ Μυτιλήνης καθωράθης ὡς θαυμάτων αὐτουργὸς μεμακάρισαι, καὶ ἁγίων χοροῖς συνηρίθμησαι, πᾶσιν ἁγίοις συναγαλλόμενος.

Σήμερον ἡ μνήμη σου ἡμῖν ἀνέτειλε τοῦ ἡλίου τηλαυγέστερον φέγγει ἐνθέων χαρισμάτων, φωτίζουσα πιστῶν τὴν διάνοιαν, καὶ σκότος τῶν παθῶν ἐκδιώκουσα, ὦ ἱερώτατε Ἀλέξανδρε.

Φωτὸς οἰκητήριον ἡ σὴ πανάμωμε Θεοτόκε μήτρα γέγονεν, ᾧ φωτιζόμενοι τοῦ σκότους λυτρούμεθα τῆς πλάνης ὑμνοῦν-

τές σε, καὶ πόθῳ ἀληθῆ μακαρίζοντες, μόνη ἀνθρώπων ἐπανόρθωσις.

ΕΞΑΠΟΣΤΕΙΑΡΙΟΝ

Γυναῖκες ἀκουτίσθητε.

Τοῦ κόσμου τὴν εὐπάθειαν ὡς βλαβερὰν ἐξέφυγας, καὶ ταῖς νηστείαις τὴν σάρκα μαράνας ἀνακαινίζεις εἰς ἀετοῦ νεότητα καὶ δόξαν κατεπλούτησας, θαυματουργῶν ἐξαίσια, ποιμεναρχῶν ἡ ἀκρότης· Ἀλέξανδρε θεοφόρε.

Θεοτοκίον.

Θεὸν ὄνπερ ἐγέννησας Παρθένε παναμώμητε, ἱκέτευε ὑπὲρ πάντων τῶν εὐσεβῶς σε τιμώντων, σὺν τῷ κλεινῷ Ἀνδρέᾳ τε τυχεῖν θείας ἐλλάμψεως, τοῦ σοῦ υἱοῦ καὶ στάσεως τῶν ἐκλεκτῶν καὶ ἁγίων· καὶ γὰρ ἰσχύεις ὡς θέλεις.

Εἰς τοὺς αἴνους στιχηρὰ ἦχος α΄.

Τῶν οὐρανίων ταγμάτων.

Τῇ παμφαεῖ πανηγύρει τοῦ ἱεράρχου Χριστοῦ εὐωχηθῶμεν πάντες, καὶ πιστῶς εὐφρανθῶμεν, ἑτήσιον τελοῦντες φαιδρὰν ἑορτὴν τῆς αὐτοῦ μεταστάσεως, ἀσματικῶς ἀνυμνοῦντες τὸν Ἰησοῦν, τὸν δοξάσαντα τὴν μνήμην αὐτοῦ.

Η΄ φωτοφόρος σου μνήμη πάτερ ἐπέλαμψε, τὰς τῶν πιστῶν καρδίας κατευφραίνουσα πάντων· ὡς ἔχων παρρησίαν πρὸς τὸν Θεὸν ἐκδυσώπει ἐκάστοτε, ἵνα ῥυσθῶμεν κινδύνων καὶ συμφορῶν οἱ τιμῶντές σε Ἀλέξανδρε.

Ε΄κ τοῦ ἁγίου σου τάφου, πάτερ Ἀλέξανδρε, ἰάσεις ἰαμάτων χορηγοῦνται ἀφθόνως τοῖς πίστει προσιοῦσιν· οὕτω κάμοῦ τὰς ἀσθενείας ἐπίσκεψαι, καὶ τῷ Θεῷ ἱκετεύων ὑπὲρ ἐμοῦ, ἵλεων τοῦτον ἀπέργασαι.

Δόξα ἦχος πλ. β'.

Ὅσιε τρισμάκαρ ἁγιώτατε πάτερ, ὁ ποιμὴν ὁ καλὸς καὶ τοῦ ἀρχιποίμενος Χριστοῦ μαθητής, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, αὐτὸς καὶ νῦν πατὴρ ἡμῶν θεοφόρε Ἀλέξανδρε· αἴτησαι πρεσβείαις σου δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον. **Θεοτόκε σὺ εἶ ἄμπελος.**

Δοξολογία μεγάλη καὶ τὰ τῆς θείας λειτουργίας.

ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" • ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878 •

ΚΑΝΩΝ

ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΕΙΣ ΤΟΥΣ ΠΑΜΜΕΓΙΣΤΟΥΣ ΤΑΞΙΑΡΧΑΣ

ΠΟΝΗΘΕΙΣ ΠΑΡΑ ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΕΚ ΡΑΙΔΕΣΤΟΥ

Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα, τοῦ Κύριε εἰσάκουσον· εἶτα ψάλλομεν **τὸ Θεὸς Κύριος**, μετὰ μέλους. Τὸ τροπάριον. **Τῶν οὐρανίων στρατιῶν. Δόξα**, τὸ αὐτό, **Καὶ νῦν. Οὐ σιωπήσωμέν ποτε Θεοτόκε**· εἶτα τὸν Ν'. καὶ καθεξῆς ψάλλομεν τὸν κανόνα, οὗ ἡ ἀκροστιχίς. «**Ἐπικαλεῖσθε κάμνοντες τοὺς ἀγγέλους.**»

Ὠδὴ α'. **Ὑγρὰν διοδεύσας.**

Ἐκ βάθους καρδίας μου προσελθών, ναῷ τῷ πανσέπτῳ, τῶν ἀΰλων σου λειτουργῶν, ἁγία Τριὰς τούτους φρουρούς μοι, ἐκδυσωπῶσε προστῆσαι ἑκάστοτε.

Πολλαῖς περιπέπτωκα συμφοραῖς, καὶ νόσοις ποικίλαις ἐκ πολλῶν μου ἁμαρτιῶν· διὸ Μιχαὴλ ὁ Ταξιάρχης, καὶ Γαβριὴλ με πασῶν τούτων ῥύσασθε.

Ἱστάμενος ἔμπροσθεν τριλαμποῦς, θεότητος αἴγλης καὶ θεούμενος μετοχῇ, φωτὸς τοῦ ἀῤῥήτου, Ταξιάρχα, τῆς τῶν παθῶν με σκοτώσεως λύτρωσαι.

Δόξα.

Κακίας καὶ βλάβης τῶν δυσμενῶν, Μιχαὴλ ὁ ἄρχων, τῶν Ἀγγέλων με ἐξελοῦ· καὶ πᾶσαν πικρίαν τῆς ψυχῆς μου, εἰς γλυκασμὸν εὐμενῶς μεταποίησον.

Καὶ νῦν. Θεοτοκίον.

Ἀῤῥήτως συνέλαβες, Μαριάμ, Θεὸν τῶν ἁπάντων· ἐν γαστρί σου παρθενικῇ· διὸ μετὰ πάντων τῶν Ἀγγέλων ὑπὲρ ἡμῶν ὡς υἱόν σου ἱκέτευσον.

Ὠδὴ γ'. Οὐρανίας ἀψῖδος.

Ἀπορήσας ἐκ πάντων ὀδυνηρῶς κράζω σοι, πρόφθασον κάμοί, Ταξιάρχα, τῷ ἐκζητοῦντί σε, τὴν σὴν ἀντίληψιν καὶ τὴν ταχεῖάν σου σκέπην, ὡς πολλοῖς προέφθασας καὶ ἔσωσας.

Λειτουργοί, μυστηρίων, τῶν τοῦ Θεοῦ μέγιστοι, οἱ πρὸς σωτηρίαν ἀνθρώπων καταπεμπόμενοι, θεῖοι ἀρχάγγελοι. Τοὺς σοὺς ἱκέτας φρουρεῖτε καὶ πρὸς βίον ἔνθεον τούτους προτρέπετε.

Ἐπὶ κλίνης ἀθλίως κατακλιθεὶς ἔρριμμαι πρὸ πυλῶν ναοῦ σου, Ἀγγέλων ὁ Ἀρχιστράτηγος· σὺ κατοικτείρησον, τὸν σὸν ἱκέτην καὶ δός μοι, τῆς ψυχῆς τὴν ἴασιν καὶ τὴν τοῦ σώματος.

Δόξα.

Ἱκεσίαν μου ταύτην, τὴν πενιχρὰν πρόσδεξαι, ἣν ἀπὸ καρδίας, ἐν κατανύξει προσάγω σοι, θεῖε Ἀρχάγγελε καὶ πρὸς τὸν κτίστην μου ταύτην, ἀναφέρων αἴτησαι, πταισμάτων ἄφεσιν.

Καὶ νῦν. Θεοτοκίον.

Θεολόγων αἱ γλῶσσαι, τὸ ἐπὶ σοὶ μέγιστον, ἐξειπεῖν τολμῶσαι ἀδυνατοῦσιν, ἁγνή, μυστήριον, διὸ τοὺς σιγῇ τοῦτο καὶ προσκυνοῦντας Παρθένε, καὶ πιστῶς δοξάζοντας, σκέπε καὶ φύλαττε.

Ὠδὴ δ'. **Εἰσακήκοα Κύριε.**

Συμβουλίᾳ τοῦ ὄφεως, ὑπακούσας ὅλως, Θεοῦ Ἀρχάγγελε, παρρησίας σῆς γεγύμνωμαι· μεταγνόντα ἤδη μὴ παρίδῃς με.

Θεωρίας, Ἀρχάγγελε τῶν σκοτεινοτάτων δαιμόνων ῥῦσαί με ἐν καιρῷ ὅτε τοῦ σώματος ἡ ψυχή μου μέλλει ἐκχωρίζεσθαι.

Ἐπὶ σοὶ τὰς ἐλπίδας μου, ὅλας ἀνεθέμην, Θεοῦ Ἀρχάγγελε, τὴν ψυχήν μου παραμύθησον, καὶ σαρκὸς τοὺς πόνους καταπράϋνον.

Δόξα.

Καταφύγιον ἅπαντες, καὶ ὠχυρωμένον πύργον πυρίμορφοι, τὸν ναὸν ὑμῶν, Ἀρχάγγελοι, κεκτημένοι νῦν ὑμῖν προσπεφεύγαμεν.

Καὶ νῦν. Θεοτοκίον.

Ἀποστάντα τοῦ κτίστου μου, ἀλλ' ἐν μετανοίᾳ ἐπανερχόμενον τούτῳ πάλιν με οἰκείωσον, σὺ παρθενομῆτορ, μεσιτείαις σόις.

Ὠδὴ ε'. **Φώτισον ἡμᾶς.**

Ἅπαντα φλογμόν, ἀθυμίας ἀποσβέσατε· τῆς ταπεινῆς μου ψυχῆς οἱ πυρσολαμπεῖς, καὶ τῆς χαρᾶς ὑμῶν δρόσον ταύτῃ ἐκπέμψατε.

Μέτρῳ τῶν κακῶν, ὑπερέβην πάντα ἄνθρωπον· διὸ ὀδόντων δράκοντος φοβεροῦ, καταπιεῖν με ζητοῦντος, Ἄγγελοι, σώσατε.

Νίκην κατ' ἐχθρῶν, τῶν ἀΰλων, ἄϋλοι Ἀρχάγγελοι, τῶν κινουμένων πάντοθεν καθ' ἡμῶν, συμπολεμοῦντες ἀοράτως μοι παρέχετε.

Δόξα.

Ὅλον μου τὸν νοῦν, ἀστραπαῖς ταῖς ἐκ προσώπου καταλαμπρύνας κάθαρον Μιχαήλ· ἵνα τρανῶς καθορῶ σου κάλλος τὸ ἄρρητον.

Καὶ νῦν. Θεοτοκίον.

Νέαν καὶ δεινήν, ἐφιστᾶσαν μοι τὴν ἔφοδον· ἐκ ληστρικῶν τοῦ πονηροῦ προσβολῶν σῇ, Θεοτόκε, δυνάμει ἀρδὴν ἀπώλεσον.

Ὠδὴ στ'. **Τὴν δέησιν ἐκχεῶ.**

Νεότητος τῆς ἐμῆς, ἀρχάγγελε, ἁμαρτίας καὶ ἀγνοίας μου πάσας τὸν ποιητὴν καὶ Θεόν μου δυσώπει ἐπιλησθῆναι ἐν ὥρᾳ τῆς κρίσεως καὶ μοίρας αὐτοῦ τῆς δεξιᾶς, δωρεὰν μὲ ποιῆσαι συμμέτοχον.

Τοὺς μώλωπας καὶ τὰ τραύματα οἶδας τῆς ἀθλίας μου σαρκός, Ταξιάρχα, καὶ τὴν πικρὰν καὶ ὀλέθριον ταύτης, τῆς ταλαιπώρου καρδίας μου κάκωσιν· διὸ τῇ δεήσει μου προσχὼν θεραπείαν τὴν τούτων μοι βράβευσον.

Εἰσάκουσον, Μιχαὴλ Ταξιάρχα, τῆς φωνῆς τῶν ἐν τῷ θείῳ ναῷ σου· καὶ πρὸ τῆς σῆς θειοτάτης εἰκόνος, γονυπετούντων θερμαῖς παρακλήσεσι· καὶ δὸς τῶν εὐχῶν ἐπιτυχεῖν καὶ χαρᾷ ἀπελθεῖν εἰς τὰ ἴδια.

Δόξα.

Συνέκδημον ἐν ἐξόδῳ ψυχῆς μου, πρὸς πορείαν τὴν οὐράνιον ἔχειν σε δυσωπῶ, Μιχαὴλ Ταξιάρχα· καὶ τῆς ζωῆς μου ἐνταῦθα συλλήπτορα πρὸς πᾶσαν παράταξιν ἐχθρῶν καὶ φρουράν μου καὶ σκέπην καὶ φύλακα.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνείκαστον τοῦ ἐκ σοῦ γεννηθέντος, Θεοτόκε ἀειπάρθενε οἶδα, τὴν διὰ σοῦ σωτηρίαν τῷ κόσμῳ καὶ εὐσπλαγχνίαν, καὶ οἶκτον, καὶ ἔλεον· διὸ ὑπὲρ πάντων τῶν πιστῶν, πρὸς αὐτὸν σὲ μεσίτην προβάλλομαι.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε.

Καὶ μνημονεύει ὁ ἱερεύς, ὧν ἡ παράκλησις γίνεται. Εἶτα ψάλλομεν τὸ κοντάκιον **Ἀρχιστράτηγοι Θεοῦ.** Τὸ **Πᾶσα πνοή·** καὶ τὸ Εὐαγγέλιον. Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι.

Ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος, τοῖς ἑαυτοῦ μαθηταῖς· ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με.

Δόξα. Ταῖς τῶν ἀσωμάτων. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα. **Ἐλέησόν με ὁ Θεός :** καὶ τὸ τροπάριον· ἦχος πλ. δ'.

Ταξιάρχαι μέγιστοι, καὶ ἀρχηγοὶ τῶν Ἀγγέλων, προστάται θερμότατοι, Μιχαὴλ καὶ Γαβριήλ, πάσης κτίσεως· οἱ περὶ τὴν ἄκτιστον, τῆς Τριάδος δόξαν, ἐν ὑψίστοις δϊπτάμενοι, καὶ ἐπινίκιον ὕμνον τὸν τρισάγιον μέλποντες Θεὸν τὸν τρισυπόστατον κτίστην τῶν ἁπάντων καὶ εὔσπλαγχνον, θείαις προστασίαις ὑμῶν ἐκδυσωπεῖτε ἐκτενῶς, ἐπιτυχεῖν ἡμᾶς ἅπαντας, τῆς αὐτοῦ ἐλλάμψεως.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Τὸ Κύριε ἐλέησον ιϐ'. Ἐλέει καὶ οἰκτιρμοῖς. Καὶ ἀρχόμεθα τῶν ἑφεξῆς τροπαρίων τοῦ κανόνος.

Ὠδὴ ζ'. **Οἱ ἐκ τῆς Ἰουδαίας.**

Τῇ δυνάμει σου πάσης, λοιμικῆς ἀσθενείας καὶ πυρετοῦ χαλεποῦ τοὺς σὲ προσκαλουμένους· ἀπάλλαξον ἐν τάχει

Μιχαὴλ Ἀρχιστράτηγε καὶ ὀφθαλμίας δεινῆς καὶ πάσης μαλακίας.

Οἱ τὸν θρόνον κυκλοῦντες, τῆς τρισυποστάτου Θεότητος, Ἄγγελοι καὶ λάμψεως ἐκείνης μετέχοντες ἀῤῥήτως, τοῖς ἐν σκότει καθεύδουσιν ἀντιπαρέχοντες φῶς, νυκτὸς ἀπολυτροῦσθε.

Ὑπομάζια βρέφη, ἀγκαλῶν τῶν μητρώων, καταθερίζονται θανάτῳ πικροτάτῳ· διὸ συγκοπτομένας, Ταξιάρχα οἰκτείρησον, τὴν κατ' αὐτῶν τοῦ Θεοῦ ὀργὴν ἐξιλεώσας.

Δόξα.

Σωτηρίαν παράσχου, τοῖς μακρόθεν ἅπασιν ἐπιφοιτήσασι· συνάμα τοῖς πλησίον ναῷ σου τῷ ἁγίῳ Μιχαὴλ Ἀρχιστράτηγε, τῶν ὁρατῶν τε αὐτῶν ἐχθρῶν καὶ ἀοράτων.

Καὶ νῦν.

Σὲ τὴν μόνην Παρθένον, καὶ μητέρα ἁπάντων, τοῦ Βασιλέως Χριστοῦ Θεοῦ τοῦ ζωοδότου ὑμνοῦμεν, προσκυνοῦμεν, Μαριὰμ χαριτώνυμε· καὶ εὐλογοῦμεν πιστῶς εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ η'. Τὸν βασιλέα τῶν οὐρανῶν.

Ἀποτεφρώσαντες, τὰ ὑλώδη μου πάθη, τῷ πυρὶ τῆς ὑμῶν ἀπαθείας ζῆν με ἐν ἁγνείᾳ Ἀρχάγγελοι φρουρεῖτε.

Γενναιοφρόνως μοι καὶ στερρᾷ διανοίᾳ προσβολὰς τοῦ διαβόλου τροποῦσθαι, θεῖε Ταξιάρχα, τῇ σῇ δυνάμει δίδου.

Γαλήνην ἄνωθεν τοῖς ἱκέταις σου δίδου, Μιχαὴλ ὁ Ἄρχων τῶν Ἀγγέλων, περιφερομένοις τοῖς κύμασι τοῦ βίου.

Δόξα.

Ἐπὶ τὰ πάλαι σου, κατιδόντες σημεῖα παρεγένοντο τὰ πλήθη τῶν ὧδε δεῖξον οὖν κἂν τούτοις τὴν σὴν θαυματουργίαν.

Καὶ νῦν. Θεοτοκίον.

Ἴθυνον, Δέσποινα, τὸν ἐμὸν βίον πάντα πρὸς τὸν θεῖον νόμον τοῦ Χριστοῦ μου πέμπουσά μοι χάριν, τὴν σὴν εἰς σωτηρίαν.

Ὠδὴ θ'. **Κυρίως Θεοτόκον.**

Λιμένι τοῦ Σωτῆρος, τὴν οἰκτρὰν ψυχήν μου, χωριζομένην τοῦ σώματος, Ἄγγελοι, τῆς μετανοίας ἱστίῳ ἐγκαθορμίσατε.

Ὁ ῥύστης καὶ φρουρός μου, καὶ παραμυθία, τῆς τελευταίας πνοῆς μου, Ἀρχάγγελε· μὴ ἀπ' ἐμοῦ χωρισθείης, καὶ τότε δέομαι.

Ὑπόπτεροι τελοῦντες, τάχει λειτουργεῖτε· καὶ φοβεροὶ τοῖς πολλοῖς ἐπιδείκνυσθε· διὸ ἐμοὶ ἐπελθόντες, φαιδροὶ ὀφθείητε.

Δόξα.

Σὺν πάσαις οὐρανίων, ταῖς χοροστασίαις, ὑπὲρ ἡμῶν τὸν Θεὸν ἱκετεύετε, οἱ ἀρχηγοὶ τῶν Ἀγγέλων καὶ ὑπερεύχεσθε.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς μήτηρ τοῦ Θεοῦ, κόρη Παναγία τοῖς οἰκτιρμοῖς σου, ἡμέρᾳ τῆς κρίσεως, τοῦ σοῦ Υἱοῦ, ἡμᾶς ῥῦσαι τῆς κατακρίσεως.

Εἶτα ψάλλομεν μετὰ μέλους τὸ Μεγαλυνάριον.

Δεῦτε εὐφημίσωμεν οἱ πιστοί. Καὶ τὸ **Ἄξιόν ἐστιν ὡς ἀληθῶς.**

Καὶ ὁ ἱερεὺς χρίει τοὺς κάμνοντας ἐλαίῳ ἐκ τῆς κανδήλας τῶν Ταξιαρχῶν.

Εἶτα τὸ **τρισάγιον.** Τὸ **Παναγία Τριάς.** Τὸ **Πάτερ ἡμῶν.**

Ὁ ἱερεὺς τὸ **Ὅτι σοῦ ἐστιν ἡ βασιλεία :** καὶ ὁ ψάλτης μετὰ μέλους τὸ τροπάριον.

Τῶν οὐρανίων στρατιῶν ἀρχιστράτηγοι.

Καὶ μετὰ τὸ μνημονεῦσαι τὸν ἱερέα πάλιν **Ὑπὲρ τῶν καμνώντων.** Γίνεται ἀπόλυσις.

ΕΤΕΡΟΣ ΚΑΝΩΝ ΤΩΝ ΑΡΧΑΓΓΕΛΩΝ.

Ὠδὴ α'. **Ὑγρὰν διοδεύσας.**

Ἁγίων Ἀγγέλων ὡς ἀρχηγοὶ καὶ τῆς θεοπτίας, ἀπολαύοντες τηλαυγῶς, τὸν ἀγαθοδότην καὶ Σωτῆρα ὑπὲρ ἡμῶν καθικετεύσατε.

Πολλαῖς περιπέπτωκα συμφοραῖς καὶ ποικίλαις νόσοις, διὰ πλήθους ἁμαρτιῶν, διὸ Μιχαὴλ Ταξιάρχα καὶ Γαβριὴλ, μὲ πασῶν τούτων ῥύσασθε.

Δόξα.

Βιαίοις κρατούμενοι πειρασμοῖς ὑμῖν ὡς προστάται νῦν προσφεύγομεν οἱ πιστοὶ Ἀρχάγγελοι θεῖοι, τὸν Δεσπότην, ὑπὲρ ἡμῶν καθικετεύσατε.

Καὶ νῦν. Θεοτοκίον.

Γενοῦ μοι Παρθένε, καταφυγὴ λιμήν τε καὶ τεῖχος, καὶ προστάτης ἡ τὸν Θεὸν ἐν σαρκὶ τεκοῦσα, θεομῆτορ, τὸν λυτρωτὴν καὶ πανοικτίρμονα.

Ὠδὴ γ'. **Οὐρανίας ἀψῖδος.**

Δωρεαῖς πολυτρόποις Ἀγγελικῆς τάξεως οἷα Ταξιάρχαι δεδειγμένοι Ἀρχιστράτηγοι κατακοσμούμενοι, τὰς τοῦ

Χριστοῦ Ἐκκλησίας, ἀσφαλῶς τηρήσατε ταῖς προστασίαις ὑμῶν.

Λειτουργοὶ μυστηρίων, τῶν τοῦ Θεοῦ μέγιστοι, οἱ πρὸς σωτηρίαν ἀνθρώπων καταπεμπόμενοι θεῖοι Ἀρχάγγελοι τοὺς ἱκέτας ὑμῶν φρουρεῖτε καὶ πρὸς βίον ἔνθεον τούτους προτρέπετε.

Δόξα.

Εὐδοκίας ἐν ὅπλῳ τὸ τῶν πιστῶν πλήρωμα τῆς ὀρθοδοξίας τῷ κάλλει νῦν στεφανούμενον ἐκ περιστάσεως ὡς εὐκλεεῖς παραστάται τοῦ Θεοῦ λυτρώσασθε, θεῖοι Ἀρχάγγελοι.

Καὶ νῦν. Θεοτοκίον.

Ζωῆς τῆς ἀκηράτου θεία σκηνὴ γέγονας μόνη ἐξ αἰῶνος φα[illegible]σα, παρθενομῆτορ, ἁγνή· διὸ πανάμωμε τὸν ἐν σκιᾷ τοῦ θανάτου πρὸς ζωὴν ὁδήγησον νῦν με, πρεσβείαις σου.

Συντήρησον ἐκ πάσης βλάβης ἱκέτας σου, Ταξιάρχα, τοὺς τεμένει θείῳ τῷ σῷ, πιστῶς νῦν προστρέχοντας βοήθησον, Μιχαὴλ καὶ Γαβριήλ, τοῖς σοῖς δούλοις.

Ἄχραντε ἡ διὰ λόγου τὸν λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Αἴτησις παρὰ τοῦ ἱερέως καὶ μετὰ τὴν αἴτησιν τὸ παρὸν τροπάριον.

Ἀντιλήπτωρ τῶν χριστιανῶν Ἀρχιστράτηγε, τῶν Ἀγγέλων καὶ τοῦ ποιητοῦ λάτρι ἄϋλε μὴ παρίδῃς τῶν σὲ θερμῶς δεομένων φωνάς, ἀλλὰ πρόφθασον, ὦ Μιχαήλ, εἰς τὴν ἐπίσκεψιν ἡμῶν, τῶν πιστῶς αἰτουμένων σε· τάχυνον εἰς τὸ σῶσαι, καὶ σπεῦσον εἰς τὸ οἰκτεῖραι, ὡς προϊστάμενος ἀεὶ Ἀρχάγγελε τῶν αἰνούντων σε.

Ὠδὴ δ'. **Εἰσακήκοα Κύριε.**

Ἡ δυὰς ἡ πρωτεύουσα, τῆς τῶν Ἀρχαγγέλων νῦν ὁμηγύρεως, τοὺς προστρέχοντας τῇ σκέπῃ ὑμῶν, ἐκ παντὸς κινδύνου διασώσατε.

Ἐπὶ σοὶ τὰς ἐλπίδας μου, ὅλας ἀνεθέμην, Θεοῦ Ἀρχάγγελε, τὴν ψυχήν μου παραμύθησον, καὶ σαρκὸς τοὺς πόνους καταπράϋνον.

Δόξα.

Θεωροὶ τῆς λαμπρότητος τῆς θεαρχικῆς καὶ ἀγαθοδότιδος, Ἀρχιστράτηγε πανένδοξε νῦν τὴν ποίμνην ὑμῶν ἐκλυτρώσασθε.

Καὶ νῦν Θεοτοκίον.

Ἱερῶς σὲ δοξάζουσι, τὰ τῶν Ἀσωμάτων θεῖα στρατεύματα, θεομῆτορ πανσεβάσμιε, τὸν γὰρ κτίστην τούτων ἀπεκύησας.

Ὠδὴ ε'. **Φώτισον ἡμᾶς.**

Κύκλῳ τοῦ Θεοῦ, παρεστῶτες Ἀρχιστράτηγοι, καὶ ταῖς ἐκεῖθεν πηγαζούσαις αὐγαῖς λελαμπρυσμένοι τὴν ποίμνην ὑμῶν φρουρήσατε.

Μέτρῳ τῶν κακῶν ὑπερέβην πάντα ἄνθρωπον, διὸ ὀδόντων δράκοντος φοβεροῦ, καταπιεῖν με ζητοῦντος, Ἄγγελοι σώσατε.

Δόξα.

Λύτρωσιν ἡμῖν δωρηθῆναι ἱκετεύσατε, τὸν Δεσπότην καὶ Θεὸν ἡμῶν, ὡς παραστάται τῆς πάντων ἀπολυτρώσεως.

Καὶ νῦν. Θεοτοκίον.

Μῦρον μυστικόν, ὀνομάζομέν σε Πάναγνε, ὡς γεννήσασαν Θεὸν ἐν σαρκὶ τὸν τὰ εὐώδη ἀναβρύοντα χαρίσματα.

Ὠδὴ στ'. **Τὴν δέησιν ἐκχεῶ.**

Νῦν θρόνῳ τῷ φοβερῷ παρίστασθε ἀκλινῶς ἀξιωθέντες θεόπται καὶ ταῖς αὐγαῖς τῆς ἁγίας Τριάδος, ἐμφορηθῆναι

ἡμῖν τοῖς προστρέχουσι· πρεσβεύσατε ἐκ πειρασμῶν καὶ παθῶν λυτρωθῆναι Ἀρχάγγελοι.

Εἰσάκουσον Μιχαὴλ Ταξιάρχα, τῆς φωνῆς τῶν ἐν τῷ θείῳ ναῷ σου, καὶ πρὸ τῆς σῆς θειοτάτης εἰκόνος, γονυπετούντων θερμαῖς παρακλήσεσι, καὶ δὸς τῶν εὐχῶν ἐπιτυχεῖν καὶ χαρᾷ ἀπελθεῖν εἰς τὰ ἴδια.

Δόξα.

Ξενίας δεσποτικῆς δεήθητι τοὺς ὑμᾶς μελῳδικῶς ἀνυμνοῦντας ἐπιτυχεῖν καὶ χαρᾶς ἀϊδίου, ἀξιωθῆναι καὶ θείας λαμπρότητος Ἀρχάγγελοι θεοειδεῖς, Μιχαὴλ Γαβριήλ τε πανένδοξοι.

Καὶ νῦν. Θεοτοκίον,

Ὁ ἔμψυχος τοῦ Δεσπότου θάλαμος, ὁ λαμπραῖς τῆς παρθενίας ἀκτῖσι φωτοειδῶς ὥσπερ κρῖνον ἐκλάμπων τῆς ἀκανθώδους ἐν μέσῳ συγχύσεως, ἡ πάναγνος καὶ εὐπρεπὴς Θεοτόκος παρθένος δοξάζεται.

Ἐξάρπασον ἐκ πάσης βλάβης ἱκέτας σου Ταξιάρχα, ἵνα πάντες, ἱκετικῶς σοι ἐκβοήσωμεν βοήθησον Μιχαὴλ τοῖς σοῖς δούλοις.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Εἶτα **Ἀρχιστράτηγοι Θεοῦ,** καὶ μετὰ τὸ Εὐαγγέλιον τὸ παρόν.

ἰδιόμελον εἰς ἦχον πλ. β'.

Οἱ Ἄγγελοί σου Χριστέ, τῷ θρόνῳ τῆς μεγαλωσύνης ἐν φόβῳ παρεστῶτες καὶ τῇ σῇ φωτοχυσίᾳ ἀεὶ λαμπόμενοι ἐν τοῖς ὑψίστοις ὑμνῳδοὶ καὶ τῆς βουλῆς σου λειτουργοὶ ὑπὸ σοῦ ἐκπεμπόμενοι, νέμουσι φωτισμὸν ταῖς ψυχαῖς ἡμῶν.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Πολυποίκιλον χάριν Ἀρχιστράτηγοι θεῖοι ὑμῖν δεδώρηται ὁ πάντων εὐεργέτης, οὗ νῦν τὴν ἐκκλησίαν διασώσατε ψάλλουσαν, ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Οἱ τὸν θρόνον κυκλοῦντες τῆς τρισυποστάτου Θεότητος Ἄγγελοι καὶ λάμψεως ἐκείνης μετέχοντες ἀῤῥήτως τοῖς ἐν σκότει καθεύδουσιν, ἀντιπαρέχοντες φῶς, νυκτὸς ἀπολυτροῦσθε.

Δόξα.

Ῥώμῃ τοῦ Παντεπόπτου δυναμούμενοι πάντα τῆς γῆς τὰ πέρατα, τρανῶς περισκοπεῖτε καὶ πάντας τοὺς ἐν πίστει περισώζετε ψάλλοντας· ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Καὶ νῦν. Θεοτοκίον.

Σωτηρίας λιμένα, Θεοτόκε Παρθένε, σὲ νῶν κατέχοντες, τοῦ βίου τοὺς κινδύνους ἐκφύγωμεν καὶ ζάλας τῷ υἱῷ σου κραυγάζοντες· ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Τὸν βασιλέα τῶν οὐρανῶν.

Τοὺς παραστάτας καὶ ὑμνῳδούς, τῆς ἀφράστου καὶ ἀῤῥήτου σου δόξης προσδέχου σὲ νῦν δυσωποῦντας Χριστὲ εἰς τοὺς αἰῶνας.

Γενναιοφρόνως μοι, καὶ στερρᾷ διανοίᾳ προσβολὰς τοῦ διαβόλου τροποῦσθαι, ὦ θεῖε Ταξιάρχα, τῇ σῇ δυνάμει δίδου.

Δόξα.

Ὑπὲρ ἡμῶν μόνε ἀγαθὲ δυσωπούσας στρατιὰς τῶν Ἀγγέλων προσδέχου τῶν σὲ ἀνυμνούντων, Χριστέ, εἰς τοὺς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον,

Φαεινοτάταις σου ἀστραπαῖς θεομῆτορ τοὺς πίστει μελῳδοῦντας φαιδρύνεις, τοὺς σὲ ἀνυμνοῦντας εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ', **Κυρίως Θεοτόκον.**

Χορείαις ἀσωμάτοις νῦν τὴν Ἐκκλησίαν, δι' ἀρετῆς μιμουμένην ἀνάδειξον περιτειχίζων Ἀγγέλοις Χριστὲ τὴν ποίμνην σου.

Ὁ ῥύστης καὶ φρουρός μου, καὶ παραμυθία τῆς τελευταίας πνοῆς μου Ἀρχάγγελε, μὴ οὖν ἐμοῦ χωρισθείης καὶ τότε δέομαι.

Δόξα.

Ψυχῶν τὴν σωτηρίαν, Ἄγγελοι προστάται, παρὰ Θεοῦ δυσωποῦντες δωρήσασθε τοῖς προσιοῦσι τῇ σκέπῃ ὑμῶν πανένδοξοι.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς ὄρθρος τοῖς ἐν σκότει καὶ πεπλανημένοις, δικαιοσύνης, παρθένε, τὸν ἥλιον ἐν ταῖς ἀγκάλαις κρατοῦσα Χριστὸν ἀνέτειλας.

ΤΕΛΟΣ.

ΝΕΑΥΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΕΩΣ 1878

ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

ΤΙΜΑΤΑΙ

διὰ μὲν τοὺς συνδρομητὰς Γρ. 10

διὰ δὲ τοὺς μὴ τοιούτους » 20

ΔΕΣΧΗ ΓΙΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" • ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878 •